Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries
and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

290. i.
133.

600089503V

# ANONYMI

# VULGO SCYLACIS CARYANDENSIS

PERIPLUM

# MARIS INTERNI

CUM APPENDICE

ITERUM RECENSUIT

**B. FABRICIUS.**

BIBLIOTHECA BODLEIANA

LIPSIAE,

TYPIS ET SUMPTIBUS B. G. TEUBNERI.

MDCCCLXXVIII.

163

290. i. 133.

VIRO

DOCTISSIMO HUMANISSIMO

JULIO PETZHOLDTO

BIBLIOGRAPHO CELEBERRIMO BIBLIOTHECAE SECUNDOGENITURAE

PRINCIPUM SAXONIAE PER QUADRAGINTA ANNOS PRAEPOSITO

HOC AUTEM DIE IX. JUNII

MDCCCLXXVIII

QUINQUE PER LUSTRA MUNERE BIBLIOTHECARII REGIS SAXONIAE

ALBERTI

SUMMA CUM DILIGENTIA FUNCTO

S. E. V.

HENRICUS THEODORUS DITTRICUS

COGN. B. FABRICIUS.

## Lectori benevolo S. P.

Periplus, cui in codice Parisino, ex quo omnes, qui praeter eum extant libri manu scripti, originem duxerunt, Scylacis Caryandensis nomen praefixum est, nuperrime quoque a quibusdam viris in aliis rebus satis doctis cautis providisque vel neglegentia vel inscitia vel pertinacia ductis Scylaci aut Caryandensi aut alius gentis attribuitur. Id ipsum me movit, ut hunc libellum jam ante triginta annos a me publici juris factum iterum recenserem eaque adderem, quae post me aut Carolus Muellerus, v. d., aut alii viri docti recte monuerunt atque emendarunt; praeterea plura a me ipso corrigenda erant.

Auctor autem hujus libelli nec ille Scylax fuit Caryandensis, cujus nomen in litteris satis clarum est, nec alius ejusdem nominis sive Byzantinus sive Bottiaeus sed grammaticus quidam Byzantinus, et illis quidem temporibus, quibus multa ex integris veterum historicorum geographorum philosophorum scriptis certo consilio collecta et in usum juventutis edita sunt.

Quod consilium noster anonymus in conficiendo hoc libello secutus sit, hoc quidem tempore certo definiri non potest; sine dubio praelectiones juvenibus habuit, qui vel rerum nauticarum vel geographiae studiosi erant. Suum autem ipsius nomen libello non praefixit sed, ut multi illis temporibus decrescentis eruditionis et culturae facere solebant, ut lectores sibi facilius pararent, nomine Scylacis Caryandensis usus est. E suis studiis nihil deprompsit sed omnia ex Ephoro aliisque scriptoribus illi aequalibus hausit et terrarum habitum terminos aliaque ita descripsit, ut putares eum quarto ante Christum natum saeculo vixisse et scripsisse. De statu igitur civitatum terrarumque, quem in hoc Periplo depictum videmus, non ubique recte judicare possumus, quo-

niam integra illorum scriptorum opera, quae noster inspexit et expilavit, nobis non servata sunt. Aliquot autem locis, ut Carolus Muellerus quoque optime intellexit, ille homunculus astutus se suaque tempora prodidit. Uberius hanc quaestionem tractavi in Diariis antiquitatis 1841, nr. 132 et 133; 1844, nr. 136, 137 et 138; et in Jahni Klotzique Annalibus philologicis et paedagogicis 1846 (Supplementorum volumine XII), p. 1—85. Quae postea alii, ut nuper F. G. Unger, de eadem re disputarunt, ea nihil novi afferunt.

Titulos singularum paragraphorum, quarum numerum C. Muellerus paullulum mutavit, et illa futilia commentitiaque de Scylace in editis praemissa et a sciolo quodam ficta e verbis Peripli ejeci.

Plures quidem extant hujus Peripli codices, de quibus et ego et C. Muellerus uberius disputavimus, sed omnes e codice Parisino (443 Supplementi) transcripti sunt. Eam ob causam in lectionibus variantibus tantum hujus libri manu scripti verba posui, ceterorum omisi; attamen non omnes sed insigniores solum errores in singulis verbis librarii oscitantia commissos enumeravi. Hunc autem codicem Parisinum primus cum editione Gailiana diligentissime contulit Emmanuel Millerus, v. cl., et lectiones variantes in libro: Supplément aux dernières éditions des petits géographes" (Parisiis 1839) edidit. Tum ipse quoque in dissertatione: „Ueber die Handschriften der kleinen Griechischen Geographen" (Dresdae 1845) de hoc aliisque libris manu scriptis Peripli uberius egi et certas emendandi rationes attuli. Post me Carolus Muellerus in primo volumine Geographorum Graecorum minorum (Parisiis 1855) et diligentissime, ut solet, et acutissime de eisdem disputavit. De verbis Peripli emendandis post Vossium et Gailium Emmanuel Millerus et Carolus Muellerus optime meriti sunt.

Numeri in margine editionis nostrae positi addita littera H. indicant paginas editionis Hudsonianae; illi autem numeri, qui in ipsis Peripli verbis occurrunt, in codice ubique fere litteris (β' δ' γ' ͵α etc.) notantur.

Scribebam Dresdae mense Majo MDCCCLXXVIII.

Ἀνωνύμου

# ΠΕΡΙΠΛΟΥΣ

## τῆς θαλάσσης τῆς οἰκουμένης Εὐρώπης καὶ Ἀσίας καὶ Λιβύης.

---

1. Ἄρξομαι δ' ἀπὸ Ἡρακλείων στηλῶν τῶν ἐν τῇ Εὐ-
ρώπῃ μέχρι Ἡρακλείων στηλῶν τῶν ἐν τῇ Λιβύῃ καὶ
μέχρι Αἰθιόπων τῶν μεγάλων. Εἰσὶ δ' ἀλλήλων καταντικρὺ
αἱ Ἡράκλειοι στῆλαι καὶ ἀπέχουσιν ἀλλήλων πλοῦν ἡμέρας[1]·
Ἀπὸ Ἡρακλείων στηλῶν τῶν ἐν τῇ Εὐρώπῃ ἐμπόρια πολλὰ
Καρχηδονίων καὶ πηλὸς καὶ πλημμυρίδες καὶ πελάγη. 2. Τῆς
Εὐρώπης εἰσὶ πρῶτοι Ἴβηρες, Ἰβηρίας ἔθνος, καὶ ποταμὸς
Ἴβηρ. Καὶ νῆσοι ἐνταῦθα ἔπεισι δύο, αἷς ὄνομα Γάδειρα.
Τούτων ἡ ἑτέρα πόλιν ἔχει ἀπέχουσαν ἡμέρας πλοῦν ἀπὸ
Ἡρακλείων στηλῶν. Εἶτα ἐμπόριον, πόλις Ἑλληνίς[2]), ᾗ ὄνομα
Ἐμπόριον· εἰσὶ δὲ οὗτοι Μασσαλιωτῶν ἄποικοι. Παράπλους
τῆς Ἰβηρίας ἑπτὰ ἡμερῶν καὶ ἑπτὰ νυκτῶν. | 3. Ἀπὸ δ' Ἰβή- 2 H.
ρων ἔχονται Λίγυες καὶ Ἴβηρες μιγάδες μέχρι ποταμοῦ Ῥο-
δανοῦ. Παράπλους Λιγύων[3]) ἀπ' Ἐμπορίου μέχρι Ῥοδανοῦ
ποταμοῦ δύο ἡμερῶν καὶ μιᾶς νυκτός. 4. Ἀπὸ Ῥοδανοῦ πο-
ταμοῦ ἔχονται Λίγυες μέχρι Ἀντιπόλεως[4]). Ἐν ταύτῃ τῇ
χώρᾳ πόλις ἐστὶν Ἑλληνὶς Μασσαλία καὶ λιμήν, καὶ Ταυ-
ρόεις καὶ Ὀλβία καὶ Ἀντίπολις[5])· ἄποικοι αὗται Μασσαλίας
εἰσίν. Παράπλους δ' ἐστὶ ταύτης ἀπὸ Ῥοδανοῦ ποταμοῦ μέχρι

---

1) Post vocem ἡμέρας C. Muellerus verba §. 2: καὶ νῆσοι etc. usque ad στηλῶν posuit. — 2) Cod. Paris. πόλιν ἑλληνίδα — C. Muellerus scripsit: Ἐμπόριον· εἰσὶ δὲ οὗτοι etc., reliqua a glossatore illata censuit. — 3) ἀπὸ λιγύος ἐμπορίου, emend. Vossius. — 4) ἀντίου, ut mox ter. — 5) λιμὴν ἄποικοι αὗται — praetermissa addidit C. Muell.

Ἀντιπόλεως δύο ἡμερῶν καὶ δύο νυκτῶν[1]). Ἀπὸ δὲ Ἡρακλείων
στηλῶν μέχρι Ἀντιπόλεως ἡ χώρα πᾶσα αὕτη εὐλίμενος.
5. Ἀπὸ δ' Ἀντιπόλεως Τυῤῥηνοὶ ἔθνος μέχρι Ῥώμης πό-
λεως. Τυῤῥηνῶν δὲ παράπλους ἡμερῶν τεττάρων καὶ νυ-
κτῶν τεττάρων. 6. Κατὰ δὲ Τυῤῥηνίαν κεῖται νῆσος Κύρνος.
Ἔστι δ' ἀπὸ Τυῤῥηνίας ὁ πλοῦς εἰς Κύρνον ἡμέρας καὶ ἡμί-
σεως· καὶ νῆσος ἐν μέσῳ τῷ πλῷ τούτῳ οἰκουμένη, ᾗ ὄνομα
Αἰθαλία, καὶ ἄλλαι πολλαὶ ἔρημοι νῆσοι. 7. Ἀπὸ δὲ Κύρνου[2])
3H. νήσου εἰς Σαρδὼ νῆσον πλοῦς ἡμέρας τρίτον μέρος· | καὶ
νῆσος ἐρήμη ἐν τῷ μεταξύ. Ἀπὸ Σαρδοῦς δ' εἰς Λιβύην
πλοῦς ἡμέρας καὶ νυκτός· εἰς δὲ Σικελίαν ἀπὸ Σαρδοῦς πλοῦς
ἡμερῶν δύο καὶ νυκτός. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον,
ὅθεν εἰς τὴν Κύρνον ἐξετραπόμην. 8. Τυῤῥηνίας ἔχονται
Λατῖνοι μεχρὶ τοῦ Κιρκαίου. Καὶ τὸ τοῦ Ἐλπήνορος μνῆμά
ἐστι Λατίνων. Λατίνων παράπλους ἡμέρας καὶ νυκτός. 9.
Λατίνων δ' ἔχονται Ὀλσοί. Ὀλσῶν δὲ παράπλους ἡμέρας μιᾶς.
10. Ὀλσῶν δ' ἔχονται Καμπανοὶ καί εἰσι πόλεις Ἑλληνίδες
αὗται ἐν τῇ Καμπανίᾳ· Κύμη, Νεάπολις. Κατὰ ταῦτά ἐστι
Πιθηκοῦσσα νῆσος καὶ πόλις Ἑλληνίς. Παράπλους δὲ τῆς
Καμπανίας ἐστὶν ἡμέρας μιᾶς. 11. Καμπανῶν δ' ἔχονται
Σαυνῖται καὶ παράπλους ἐστὶ Σαυνιτῶν ἡμέρας ἥμισυ. 12.
Σαυνιτῶν δ' ἔχονται Λευκανοὶ μέχρι Θουρίας. Ὁ πλοῦς δ'
ἐστὶ παρὰ Λευκανίαν ἡμερῶν ἓξ[3]) καὶ νυκτῶν ἕξ. Ἡ δὲ Λευ-
4H. κανία ἐστὶν ἀκτή. Ἐν ταύτῃ πόλεις εἰσὶν Ἑλληνίδες αἵδε· |
Ποσειδωνία[4]), Ἐλέα, Λᾶος[5]) Θουρίων ἀποικία, Πανδοσία,
Κλαμπέτεια[6]), Τέρινα, Ἱππώνιον, Μέδμα[7]), Ῥήγιον ἀκρωτή-
ριον καὶ πόλις. 13. Κατὰ δὲ Ῥήγιόν ἐστι Σικελία νῆσος ἀπὸ
τῆς Εὐρώπης ἀπέχουσα στάδια δώδεκα, εἰς Πελωριάδα[8]). Ἐν
δὲ Σικελίᾳ ἔθνη βάρβαρα τάδε ἐστίν· Ἔλυμοι[9]), Σικανοί,
Σικελοί, Φοίνικες, Τρῶες. Οὗτοι μὲν βάρβαροι, οἰκοῦσι δὲ
καὶ Ἕλληνες. Ἀκρωτήριον δὲ Σικελίας Πελωριάς. Πόλεις δ'
εἰσὶν ἀπὸ Πελωριάδος Ἑλληνίδες αἵδε· Μεσσήνη[10]) καὶ λιμήν,

1) ἀντίου ἡμερῶν δ' καὶ νυκτῶν δ', C. Muell. emend. — 2) κύρου et mox σαρδῶ. — 3) γ' pro ς bis maluit C. Muellerus. — 4) ποσειδώ· ἴαι, em. Cluver. — 5) καὶ ἐλαὰ θουρίων ἀπ., emend. C. Muellerus. — 6) πλαταιεῖς, emend. C. Muell. — 7) μέσα, em. Stiehle. — 8) πελωριάδα ἀπὸ ῥηγίου, emend. C. Muell. — 9) ἐδυνοί, em. Voss. — 10) μεσίνη.

*Ταυρομένιον, Νάξος, Κατάνη, Λεοντῖνοι — εἰς τοὺς Λεον-
τίνους δὲ κατὰ Τηρίαν*[1]) *ποταμὸν ἀνάπλους εἴκοσι σταδίων —,
Σύμαιθος ποταμὸς*[2]) *καὶ πόλις Μεγαρὶς καὶ λιμὴν Ξιφώνειος.
Ἐχομένη δὲ Μεγαρίδος πόλις*[3]) *ἐστὶ Συράκουσαι, καὶ λιμένες
ἐν αὐτῇ δύο· τούτων ὁ ἕτερος ἐντὸς τείχους, ὁ δ' ἄλλος ἔξω.
Μετὰ δὲ ταύτην πόλις Ἕλωρον καὶ Πάχυνος ἀκρωτήριον.
Ἀπὸ Παχύνου δὲ πόλεις Ἑλληνίδες αἵδε· Καμάρινα, Γέλα,
Ἀκράγας, Σελινοῦς, Λιλύβαιον ἀκρωτήριον. Ἀπὸ δὲ Λιλυ-
βαίου πόλις ἐστὶν Ἑλληνὶς Ἱμέρα*[4]) *καὶ πόλις Ἑλληνὶς Μυλαὶ
καὶ λιμήν. Κατ' ἀντιπέραν ταύτης Λιπάρα νῆσος· ἔστι δ'
ἀπὸ Μυλῶν ἐπὶ Λιπάραν νῆσον πλοῦς ἡμέρας ἥμισυ. Ἔστι
δὲ ἡ Σικελία τρίγωνος· τὸ δὲ κῶλον ἕκαστον αὐτῆς ἐστὶ μά-
λιστα στάδια χίλια καὶ πεντακόσια.* | *Ἐπάνειμι δὲ πάλιν ἐπὶ* 5 H.
*τὴν ἤπειρον, ὅθεν ἐξετραπόμην.* 14. *Ἀπὸ γὰρ Ῥηγίου πόλεις
εἰσὶν αἵδε· Λυκροί, Καυλωνία, Κρότων, Λακίνιον ἱερὸν Ἥρας,
καὶ νῆσος Καλυψοῦς*[5]), *ἐν ᾗ Ὀδυσσεὺς ᾤκει παρὰ Καλυψοῖ,
καὶ ποταμὸς Κρᾶθις*[6]) *καὶ Σύβαρις, καὶ Θουρία*[7]) *πόλις.
Οὗτοι ἐν τῇ Λευκανίᾳ Ἕλληνες.* 15. *Μετὰ δὲ τὴν Λευκα-
νίαν Ἰάπυγές εἰσιν ἔθνος μέχρι Ὠρίωνος*[8]) *ὄρους τοῦ ἐν τῷ
κόλπῳ τῷ Ἀδρίᾳ. Παράπλους παρὰ τὴν Ἰαπυγίαν τριῶν ἡμε-
ρῶν καὶ τριῶν*[9]) *νυκτῶν. Ἐν δὲ τῇ Ἰαπυγίᾳ οἰκοῦσιν Ἕλλη-
νες καὶ πόλεις εἰσὶν αἵδε· Ἡράκλειον, Μεταπόντιον, Τάρας
καὶ λιμὴν Ὑδροῦς ἐπὶ τῷ τοῦ Ἀδρίου ἢ τῷ*[10]) *τοῦ Ἰονίου κόλ-
που στόματι.* 16. *Μετὰ δὲ Ἰάπυγας ἀπ' Ὠρίωνος Σαυνῖται
ἔθνος ἐστὶν*[11]), *διήκοντες ἀπὸ τοῦ Τυῤῥηνικοῦ πελάγους εἰς*

---

1) *τὴν ῥίαν*, em. Cluver. — 2) *Σύμ.* supra post *Κατάνην* ponendus erat. — 3) *ἐχ. δὲ πόλις μεγαρίς ἐστι*, em. Cluver. — 4) *ἱμέρα. ἔστι δὲ ἡ Σικ. τ. τὸ δὲ κ. ἐκ αὐτ. ἐ. μ. στ. μφ'. κατὰ πέραν πόλιν λιπάρα ν. ε. καὶ πολ. ἑλλ. μ. καὶ λιμήν· ἔστι δὲ ἀπὸ μ. ἐπὶ λιπ. ν. πλ. ἡμ. ἡμέρας* — C. Muell. edidit: *Ἱμέρα, μετὰ δὲ Ἱμέραν πόλιν Λιπάρα νῆσός ἐστι καὶ πόλις Ἑλληνὶς Μύλαι καὶ λιμήν. Ἔστι δὲ ἀπὸ* M. — — *ἥμισυ*, et verba proxima: *Ἔστι δὲ ἡ Σικελία — σταδίων ͵αφ'* glossatori tribuens uncinis inclusit. — 5) *καλυψώ* ut mox. — 6) *κράσις*, em. Cluver. — 7) *τυρία*, em. Cluver. — 8) *ἀρίονος*, ut mox iterum, em. C. Muell. — Bursian. *Ἀρίονος* retinet in Museo philol. Rhenano vol. XXI, p. 216. — 9) *ἓξ* bis; em. C. Müller. — 10) Pro *ἢ τῷ* Bursian. malit *ἤτοι*, qui etiam in proximis ubique cum codice *δαυνῖται*, *δαυνίτιδος* et *δαυνίτας* retinet. — 11) Post *ἔθνος ἐστίν* cod. addit: *ἐν δὲ τούτῳ τῷ ἔθνει γλῶσσαι ἤτοι στό-*

τὸν Ἀδρίαν. Παράπλους τῆς Σαυνίτιδος χώρας ἡμερῶν δύο
6 H. καὶ νυκτός. 17. | Μετὰ δὲ Σαυνίτας ἔθνος ἐστὶν Ὀμβρικοί,
καὶ πόλις ἐν αὐτῷ[1]) Ἀγκὼν ἐστί. Τοῦτο δὲ τὸ ἔθνος τιμᾷ
Διομήδην, εὐεργετηθὲν ὑπ' αὐτοῦ· καὶ ἱερόν ἐστιν αὐτοῦ.
Παράπλους δὲ τῆς Ὀμβρικῆς ἐστὶν ἡμερῶν δύο καὶ νυκτός.
18. Μετὰ δὲ τὸ Ὀμβρικὸν Τυῤῥηνοί. Διήκουσι δὲ καὶ οὗτοι
ἀπὸ τοῦ Τυῤῥηνικοῦ πελάγους ἔξωθεν εἰς τὸν Ἀδρίαν· καὶ
πόλις ἐν αὐτοῖς[2]) Ἑλληνὶς Σπῖνα[3]) καὶ ποταμός· καὶ ἀνάπλους
εἰς τὴν πόλιν κατὰ ποταμὸν ὡς εἴκοσι σταδίων. Καί ἐστιν
ἐπ' αὐτῆς ἀπὸ Πίσης πόλεως ὁδὸς ἡμερῶν τριῶν[4]). 19.
Μετὰ δὲ Τυῤῥηνούς εἰσι Κελτοὶ ἔθνος, ἀπολειφθέντες τῆς
στρατείας, ἐπὶ στενῶν μέχρι Ἀδρίου διήκοντες[5])· ἐνταῦθα
δ' ἐστὶν ὁ μυχὸς τοῦ Ἀδρίου κόλπου. 20. Μετὰ δὲ Κελτοὺς
Ἑνετοί εἰσιν ἔθνος καὶ ποταμὸς Ἠριδανὸς ἐν αὐτοῖς. Ἐντεῦ-
θεν δὲ παράπλους ἐστὶν[6]) ἡμέρας μιᾶς. 21. Μετὰ δὲ Ἑνε-
τούς εἰσιν Ἴστροι ἔθνος[7]), καὶ ποταμὸς Ἴστρος. Οὗτος ὁ
7 H. ποταμὸς | καὶ εἰς τὸν Πόντον ἐκβάλλει ἐν διασκευῇ ὡς εἰς[8])
Αἴγυπτον. Παράπλους δὲ τῆς Ἰστριανῶν χώρας ἡμέρας καὶ
νυκτός. 22. Μετὰ δ' Ἴστρους Λιβυρνοί εἰσιν ἔθνος. Ἐν δὲ
τούτῳ τῷ ἔθνει πόλεις εἰσὶ παρὰ θάλατταν[9]) αἵδε· Ἴδασσα,
Ἀττιενίτης, Δυύρτα, Ἁλουψοί, Ὀλσοί[10]), Πεδῆται, Ἡμίονοι.
Οὗτοι γυναικοκρατοῦνται· καί εἰσιν αἱ γυναῖκες ἀνδρῶν ἐλευ-
θέρων, μίσγονται δὲ καὶ[11]) τοῖς ἑαυτῶν δούλοις καὶ τοῖς πλη-
σιοχώροις ἀνδράσι. Κατὰ ταύτην τὴν χώραν αἵδε νῆσοί εἰσιν,

---

ματα τάδε· λατέρνιοι [Bursian. malit Κλιτέρνιοι], ὀπικοί, κραμόνες, βορεοντῖνοι, πευκετιεῖς, quod glossema esse recte vidit C. Muell. — 1) αὐτῇ, quod. C. Muell. retinuit. — 2) αὐτῇ, quod C. Muell. retinuit. — 3) Σπῖνα omittit. — 4) καὶ τυρρηνία ἐστὶν διήκουσα ἀπὸ ϲῆς ἔξωθεν θαλάττης ἕως εἰς τὸν ἀδρίαν κόλπον· ἀπὸ πόλεων πόλεως· καὶ ἔστιν ὁδὸς ἡμ. τρ., emend. C. Mueller. — 5) διήκ. e glossatoris verbis retinuit C. Mueller. — 6) hic cod. ἐπ' αὐτῆς ἀπὸ πίσης πόλεως addit, quae C. Mueller. supra posuit. — 7) ἔθνος ἴστροι. — 8) ἐνδιασκευνῶς εἰς αἴγ. emend. Clausen. vertens: in directione adversus Aegyptum. C. Mueller. codicis scripturam retinens in Latinis habet: spectans Aegyptum versus. — 9) θάλατταν· λιάς, em. Gail. Pro. Ἰδ., Ἀττ. Gronovius Δασσάτικα, Σενίτης conjecit. — 10) Pro Ὀλσοί, Πεδῆται, Ἡμίονοι C. Muell. maluit Ὀρτοπελῆται (vel Ὀλσοπελῆται), Ἡγῖνοι. — 11) καί recte adjecit C. Muell.

ὧν ἔχω εἰπεῖν τὰ ὀνόματα — εἰσὶ δὲ καὶ ἄλλαι ἀνώνυμοι
πολλαί· — Ἴστρις[1]) νῆσος, μῆκος[2]) σταδίων τριακοσίων καὶ
δέκα, πλάτος δὲ ἑκατὸν εἴκοσιν, Ἠλεκτρίδες[3]), Μεντορίδες·
αὗται δὲ αἱ νῆσοί εἰσι μεγάλαι. Καταρβάτης ποταμός. Παρά-
πλους τῆς Λιβυρνίδος χώρας ἡμερῶν δύο. 23. Μετὰ δὲ Λι-
βυρνούς εἰσιν Ἰλλυριοὶ ἔθνος, καὶ παροικοῦσιν οἱ Ἰλλυριοὶ
παρὰ θάλατταν μέχρι Χαονίας[4]) τῆς κατὰ Κέρκυραν τὴν Ἀλ-
κινόου νῆσον. Καὶ πόλις ἐστὶν Ἑλληνὶς ἐνταῦθα, ᾗ ὄνομα
Ἡράκλεια, καὶ λιμήν. Εἰσὶ δὲ καὶ οἱ λωτοφάγοι καλούμενοι
βάρβαροι οἵδε· Ἰαδερατῆναι[5]), Βουλινοί. Βουλινῶν ὁμοτέρ-
μονες[6]) Ὕλλοι· οὗτοι | δέ φασιν Ὕλλον τὸν Ἡρακλέους αὐτοὺς 8 H.
αὐτοῦ[7]) κατοικῆσαι· εἰσὶ δὲ βάρβαροι· κατοικοῦσι δὲ χεῤῥό-
νησον ὀλίγῳ ἐλάττω τῆς Πελοποννήσου. Ἀπὸ δὲ χεῤῥονήσου
νῆσος παρατείνει ὡς ταινίον[8]) ὀρθόν· ταύτῃ παροικοῦσι Βου-
λινοί. Βουλινοὶ δ' εἰσὶν ἔθνος Ἰλλυρικόν. Παράπλους δ'
ἐστὶ τῆς Βουλινῶν χώρας ἡμέρας μακρᾶς. Ἐπὶ Νέστον ποτα-
μὸν Νεσταῖοι[9]). Ἀπὸ δὲ Νέστου πλοῦς ἐστὶ κολπώδης. Κα-
λεῖται δὲ Μάνιος ἅπας οὗτος ὁ κόλπος. Παράπλους δ' ἐστὶν
ἡμέρας μιᾶς. 24. Εἰσὶ δ' ἐν τούτῳ τῷ κόλπῳ[10]) νῆσοι Τρα-
γυράς[11]), Κρατειαί, Βραττία[12]), Ὀλύντα — αὗται δ' ἀπ' ἀλ-
λήλων ἀπέχουσι στάδια δύο ἢ ὀλίγῳ πλεῖον — κατὰ Φάρον καὶ
Ἴσσαν. Ἐνταῦθα γάρ ἐστι νέος Φάρος, νῆσος Ἑλληνίς, καὶ
Ἴσσα νῆσος· καὶ πόλεις Ἑλληνίδες αὗται. Πρὶν ἐπὶ τὸν Νά-
ρωνα[13]) ποταμὸν παραπλεῦσαι, πολλὴ χώρα ἀνήκει σφόδρα
εἰς θάλατταν. Καὶ νῆσος τῆς παραλίας χώρας ἐγγύς, ᾗ
ὄνομα Μελίτη. Καὶ ἑτέρα νῆσος ἐγγὺς ταύτης, ᾗ ὄνομα Κέρ-
κυρα ἡ μέλαινα· καὶ ἐκτρέχει τῷ ἑνὶ τῶν ἀκρωτηρίων[14]) νῆσος
αὕτη τῆς παραλίας χώρας σφόδρα, τῷ δὲ ἑτέρῳ ἀκρωτηρίῳ

1) εἴστρις, em. C. Muell. — 2) μῆκος add. C. Muell. — 3) κλείτρει λιτρία. — 4) χλωνίας, em. Voss. — 5) ἱεραστάμναι, em. C. Muell., qui post Βουλ. recte vocem Ὕλλινοι delet. — 6) λινοτέρμονες, em. Clausen., Kolsterus maluit κοινοτέρμονες. — 7) τοῦ, em. Bursian. — 8) χερρ. παραστόνιον ὀρθόν· ταύτην, praeivit C. Muell. — 9) νεστὸν κόλπον νεστοί. C. Muell. edidit: μακρᾶς ἐπὶ Νέστον ποταμόν. ΝΕΣΤΟΙ. Ἀπὸ δὲ Νέστου. — 10) τόπῳ, em. Salm. — 11) προτεράς, em. C. Muell. — 12) Βρ. add. C. Muell., qui in proximis ὀκτώ pro δύο conjecit. — 13) ἄρωνα hic et mox. — 14) ἐρρέχει περὶ τὸ ἀκρωτήριον, em. C. Muell.

καθήκει ἐπὶ τὸν Νάρωνα ποταμόν. Ἀπὸ δὲ τῆς Μελίτης ἀπέχει στάδια ὀγδοήκοντα[1]· τῆς δὲ παραλίας χώρας ἀπέχει
9 H. στάδια ὀκτώ. | 25. Ἀπὸ δὲ Νεσταίων ἐστὶν ὁ Νάρων ποταμός· ὁ δ' εἴσπλους ὁ εἰς τὸν[2]) Νάρωνά ἐστιν οὐ στενός· εἰσπλεῖ δ' εἰς αὐτὸν καὶ τριήρης καὶ πλοῖα εἰς τὸ ἄνω ἐμπόριον, ἀπέχον ἀπὸ θαλάττης στάδια ὀγδοήκοντα. Οὗτοι δ' εἰσὶν Ἰλλυριῶν[3]) ἔθνος, Μανιοί. Λίμνη δ' ἐστὶ τὸ εἴσω τοῦ ἐμπορίου μεγάλη, καὶ ἀνήκει ἡ λίμνη εἰς Αὐταριάτας, ἔθνος Ἰλλυρικόν· καὶ νῆσος ἐν τῇ λίμνῃ ἔνεστι σταδίων ἑκατὸν εἴκοσιν. Ἡ δὲ νῆσος αὕτη ἐστὶν εὐγέωργος σφόδρα. Ἀπὸ δὲ ταύτης τῆς λίμνης ὁ Νάρων ποταμὸς ἀποῤῥεῖ. Καὶ ἀπὸ τοῦ Νάρωνος ἐπὶ τὸν Ἀρίωνα ποταμὸν ἡμέρας ἐστὶ πλοῦς. Ἀπὸ δὲ τοῦ Ἀρίωνος ποταμοῦ ἐπὶ τὸν Ῥιζοῦντα ποταμὸν[4]) πλοῦς ἡμέρας ἥμισυ. Καὶ Κάδμου καὶ Ἁρμονίας οἱ λίθοι εἰσὶν ἐνταῦθα καὶ ἱερὸν οὐκ[5]) ἄπωθεν τοῦ Ῥιζοῦντος[6]) ποταμοῦ. Ἀπὸ δὲ τοῦ Ῥιζοῦντος ποταμοῦ εἰς Βουθόην ὁ πλοῦς ἡμέρας ἥμισυ. 26. Εἶτα[7]) Ἰλλυριῶν ἔθνος εἰσὶν οἱ Ἐγχελεῖς, ἐχόμενοι τοῦ Ῥιζοῦντος. Ἐκ Βουθόης δ' εἰς Ἐπίδαμνον, πόλιν Ἑλληνίδα,
10 H. πλοῦς ἡμέρας καὶ νυκτός, ὁδὸς δὲ τριῶν ἡμερῶν. | 27. Ταυλάντιοι δ' εἰσὶν[8]) τὸ Ἰλλυρικὸν ἔθνος, ἐν ᾧ ἡ Ἐπίδαμνός ἐστι, καὶ ποταμὸς παρὰ τὴν πόλιν παραῤῥεῖ, ᾧ ὄνομα Πάλαμνος. Ἐκ δ' Ἐπιδάμνου εἰς Ἀπολλωνίαν, πόλιν Ἑλληνίδα, ὁδὸς ἡμερῶν δύο. Ἡ δ' Ἀπολλωνία ἀπὸ τῆς θαλάττης ἀπέχει στάδια πεντήκοντα, καὶ ποταμὸς Αἴας παραῤῥεῖ τὴν πόλιν. Ἀπὸ δ' Ἀπολλωνίας εἰς Ἀμαντίαν ἐστὶ στάδια τριακόσια καὶ εἴκοσιν[9]). Πρὸς δ' Ἀμαντίας[10]) εἴσω μᾶλλον εἰς τὸν Ἰόνιον Ὠρικός. Τῆς[11]) Ὠρικίας καθήκει εἰς θάλατταν στάδια ὀγδοήκοντα, τῆς δ' Ἀμαντίας στάδια ἑξήκοντα. Ἅμασιν[12]) ὅμοροι

---

1) κ', em. Lapieus. — 2) omittit τόν. — 3) ἰλλύριοι. — 4) ἐπὶ τὸν Ῥ. ποτ. addidit C. Mueller. — 5) οὐκ adj. C. Muell. — 6) hic et in proximis verbis ἀρίωνος, quod C. Muell. em. — 7) εἰς βουθόην ὁ πλοῦς καὶ τὸ ἐμπόριον. Ἐγχελεῖς. Ἰλλυρίων — Verba ἡμ. ἥμ. adj. C. Muell. — 8) ἰλλυριοὶ κατ' ἀντίον δέ ἐστι τὸ, emend. Bursian. — 9) Post εἴκοσι in cod. haec: καὶ ὁ αἴας ποταμὸς ἀπὸ τοῦ πίνδου ὄρους παρὰ τὴν ἀπολλωνίαν παραρρεῖ, sed Gail. et C. Muell. hoc glossema deleverunt. — 10) δ' Αμ. adj. C. Muell. — 11) ἰόνιον τῆς ὠρικίας, em. C. Muell. — 12) ἅπασιν, em. Bursian.

*ἐν μεσογείᾳ Ἀτιντᾶνες ὑπὲρ τῆς Ὠρικίας καὶ Δεξαρίας*[1]) *μέχρι*
*Δωδωνίας*[2]). *Ἐν τῇ Κεστρίδι χώρᾳ εἶναι λέγεται πεδίον*[3]),
*ὄνομα Ἐρύθεια. Ἐνταῦθα ὁ Γηρυόνης λέγεται οἰκεῖν*[4]) *καὶ*
*τοὺς βοῦς βουκολεῖν. Κατὰ ταῦτά ἐστι τὰ Κεραύνια ὄρη ἐν*
*τῇ ἠπείρῳ, καὶ νῆσος παρὰ ταῦτά ἐστι μικρά, ᾗ ὄνομα Σά-*
*σων. Ἐντεῦθεν εἰς Ὠρικὸν πόλιν ἐστὶ παράπλους ἡμέρας*
*τρίτον μέρος.* 28. *Οἴδ' εἰσὶ μέχρι ἐνταῦθα*[5]) *Ἰλλυριοὶ ἀπὸ*
*Βουλινῶν. Τὸ δὲ στόμα τοῦ Ἰονίου*[6]) | *κόλπου ἐστὶν ἀπὸ* 11 H.
*Κεραυνίων ὀρῶν μέχρι ἄκρας Ἰαπυγίας. Ἐπὶ δὲ Ὑδρόεντα*
*πόλιν ἐν τῇ Ἰαπυγίᾳ ἀπὸ τῶν Κεραυνίων, στάδια τοῦ διά-*
*πλου ὡς πεντακόσια, ἐστὶ τὸ στόμα τοῦ κόλπου. Τὰ δ' ἐντὸς*
*ὁ Ἰόνιος. Λιμένες εἰσὶ πολλοὶ ἐν τῷ Ἀδρίᾳ· τὸ δ' αὐτὸ Ἀδρίας*
*ἐστὶ καὶ Ἰόνιος.* 29. *Μετὰ δὲ Ἰλλυριοὺς Χάονες. Ἡ δὲ Χαο-*
*νία ἐστὶν εὐλίμενος· οἰκοῦσι δὲ κατὰ κώμας οἱ Χάονες. Πα-*
*ράπλους δ' ἐστὶ Χαονίας ἥμισυ ἡμέρας*[7]). 30. *Κατὰ δὲ Χαο-*
*νίαν νῆσός ἐστι Κέρκυρα καὶ πόλις Ἑλληνὶς ἐν αὐτῇ, λιμέ-*
*νας ἔχουσα τρεῖς κατὰ τὴν πόλιν· τούτων ὁ εἷς κλειστός*[8]).
*Ἐπιβάλλει δὲ ἡ Κέρκυρα καὶ ἐπὶ τὴν Θεσπρωτίαν πλεῖον ἢ*
*ἐπὶ τὴν Χαονίαν. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν*
*ἐξετραπόμην.* 31. *Μετὰ δὲ Χαονίαν Θεσπρωτοί εἰσιν ἔθνος.*
*Οἰκοῦσι δὲ καὶ οὗτοι κατὰ κώμας· ἔστι δὲ καὶ αὕτη εὐλίμενος.*
*Ἐνταῦθά ἐστι λιμήν, ᾧ ὄνομα Ἐλαία*[9]) *— εἰς τοῦτον τὸν*
*λιμένα ποταμὸς ἐξίησιν Ἀχέρων —, καὶ λίμνη*[10]) *Ἀχερουσία,*
*ἐξ ἧς ὁ Ἀχέρων ῥεῖ ποταμός. Παράπλους δὲ τῆς Θεσπρω-*
*τίας ἥμισυ*[11]) *ἡμέρας.* 32. *Μετὰ δὲ Θεσπρωτίαν Κασσωπία* | 12 H.
*ἐστὶν ἔθνος. Οἰκοῦσι δὲ καὶ οὗτοι κατὰ κώμας. Παροικοῦσι*
*δὲ οὗτοι ἕως εἰς τὸν Ἀνακτορικὸν κόλπον. Παράπλους δ'*
*ἐστὶ τῆς Κασσωπῶν χώρας ἥμισυ ἡμέρας. Μικρῷ δ' ἐλάττων*
*ὁ Ἀνακτορικὸς κόλπος ἐστὶν ἀπὸ τοῦ στόματος ἕως εἰς τὸν*

---

1) *καρίας*, em. Clausen.; C. Mueller. cum Vossio *Χαονίας* in Latinis. — 2) *ἰδονίας*, em. Palmer. — Verba proxima *Ἐν τῇ Κεστρίδι* (ita Holsten. pro *κάστιδι*) usque ad *βουκολεῖν* male huc e margine tracta esse censet C. Muell. — 3) *δὲ διὸς ὄνομα . . . ἐρυθεῖα*, em. Voss. — 4) *ἥκειν*, em. Bursian. — 5) *ὠρικοί. οἱ δὲ ὠρικοὶ κατοικοῦσι τῆς ἀμαντίας χώρας. οἱ δὲ ἀμαντιεῖς εἰσὶ μ. ἐν.*, em. C. Mueller. — 6) *ὀνέου*, em. Voss. — 7) Immo 600 aut 660 stadia. — 8) *κάλλιστος* ut §. 34. — 9) *ἔλεδ*, em. Voss. — 10) *λιμήν*, em. Voss. — 11) *νήσου*, em. Voss.

μυχὸν σταδίων ἑκατὸν εἴκοσιν[1]· τὸ δὲ στόμα εὖρος στάδια
τέτταρα. 33. Μετὰ δὲ Κασσωπίαν Μολοττοί εἰσιν ἔθνος. Οἰκοῦσι
δὲ οὗτοι κατὰ κώμας· καθήκουσι δὲ κατὰ μικρὸν ἐνταῦθα ἐπὶ
τὴν θάλατταν, εἰς μεσογείαν δὲ πολλῇ. Παράπλους δ' ἐστὶ
τῆς Μολοττίας χώρας στάδια τετταράκοντα. 34. Μετὰ δὲ Μο-
λοττίαν Ἀμβρακία πόλις Ἑλληνίς· ἀπέχει δὲ αὕτη ἀπὸ θαλάτ-
της στάδια ὀγδοήκοντα. Ἔστι δὲ καὶ ἐπὶ θαλάττης τεῖχος καὶ
λιμὴν κλειστός. Ἐντεῦθεν ἄρχεται ἡ Ἑλλὰς συνεχὴς εἶναι μέχρι
Πηνειοῦ ποταμοῦ καὶ Ὁμολίου, Μαγνητικῆς πόλεως, ἥ ἐστι
παρὰ τὸν ποταμόν. Παράπλους δὲ τῆς Ἀμβρακίας στάδια ἑκα-
13 H. τὸν εἴκοσιν. 35. Μετὰ δ' Ἀμβρακίαν Ἀκαρνανία | ἔθνος ἐστί·
καὶ πρώτη πόλις αὐτόθι Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ Ἀνακτό-
ριον καὶ λιμήν, καὶ ἔξω τοῦ Ἀνακτορικοῦ κόλπου[2]) αἵδε·
Ἀκτὴ καὶ πόλις Λευκὰς καὶ λιμήν. Αὕτη ἀνέχει ἐπὶ τὸν Λευκά-
ταν, ὅ ἐστιν ἀκρωτήριον πόῤῥωθεν ἐν τῇ θαλάττῃ ὁρατόν[3])·
αὕτη ἡ πόλις τὸ πρὶν καὶ Ἐπιλευκάδιοι ὠνομάζετο[4]). Ἀκαρνᾶ-
νες δὲ στασιάσαντες ἔλαβον ἐκ Κορίνθου ἐποίκους χιλίους·
οἱ δ' ἔποικοι ἀποκτείναντες Ἀκαρνᾶνας τούτων τὴν χώραν[5])
αὐτοὶ ἔχουσιν. Αὕτη δ' ἐστὶ νῦν νῆσος τὸν ἰσθμὸν ἀπο-
τεταφρευμένη[6]). Μετὰ δὲ ταῦτα πόλις Φαρά· καὶ κατὰ
ταῦτα νῆσός ἐστιν Ἰθάκη καὶ πόλις καὶ λιμήν. Μετὰ ταῦτα
νῆσος Κεφαληνία. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν
ἀπέλιπον. Μετὰ ταῦτα πόλις Ἀλυζία καὶ κατὰ ταύτην νῆσος
Κάρνος· καὶ πόλις Ἄστακος καὶ λιμήν, καὶ ποταμὸς Ἀχελῷος
καὶ Οἰνειάδαι πόλις· καὶ εἰς ταύτας ἀνάπλους[7]) ἐστὶ κατὰ τὸν
Ἀχελῷον. Εἰσὶ δὲ καὶ ἄλλαι πόλεις Ἀκαρνάνων ἐν μεσογείᾳ.
Παράπλους δ' Ἀκαρνανίας ἐστὶν ἡμερῶν καὶ νυκτῶν[8]) δύο.
Ἡ δ' Ἀκαρνανία ἐστὶ πᾶσα εὐλίμενος· καὶ κατὰ ταῦτα νῆσοι
14 H. παράκεινται πολλαί, ἃς ὁ Ἀχελῷος προσχωννύων | ἤπειρον
ποιεῖ· καλοῦνται δ' Ἐχινάδες αἱ νῆσοι· εἰσὶ δ' ἔρημοι.

---

1) f. legendum σκ' i. e. διακοσίων εἴκοσι. — 2) ἄργος τὸ ἀμφιλοχικόν· καὶ εὔριπος καὶ οὐριτὸν ἐν τῷ ἰκονίῳ καὶ ἔξω τοῦ ἀνακτορικοῦ κόλπου αἵδε· ἀνακτόριον καὶ λιμήν· ἀκτήν· καὶ πόλις λευκὰς κτλ.; glossemata delevit C. Mueller. — 3) Adjeci, C. Muellero ἄποπτον vel ἐκφαινόμενον placuit. — Codex Par. etiam ἐν post πόῤῥωθεν omittit. — 4) ἐπιλευκαδιοστῶν ὠνομάζοντο. — 5) ἀποκτ. τοῦτον τὴν χ. — 6) ἀποτεταφρουμένη. — 7) ταύτας τὰς πόλεις ἀναπλ., em. C. Mueller. — 8) καὶ νυκτ. omittit, sed iam Gailius addi voluit.

36. Μετὰ δ' Ἀκαρνανίαν Αἰτωλία ἐστὶν ἔθνος καὶ πόλεις
ἐν αὐτῇ εἰσὶν αἵδε· Καλυδών, Ἁλίκυρνα[1]), Μολύκρεια· καὶ
ὁ Δελφικὸς κόλπος. Στόμα δὲ τοῦ κόλπου τούτου ἐστὶ στάδια
δέκα, καὶ ἐπ' αὐτοῦ ἱερὸν καὶ Ναύπακτος πόλις· καὶ ἐπ'
αὐτῇ[2]) πόλεις εἰσὶν ἄλλαι πολλαὶ Αἰτωλοῖς ἐν μεσογείᾳ.
Παράπλους δ' ἐστὶ τῆς Αἰτωλίας ἡμέρας μιᾶς. Ἡ δ' Αἰτωλία
παρήκει τὴν Λοκρίδα πᾶσαν ἀπὸ μεσογείας μέχρι Αἰνιανῶν.
37. Μετὰ δ' Αἰτωλοὺς Λοκροί εἰσιν ἔθνος, ἐν οἷς εἰσὶν
Ὀζόλαι καλούμενοι καὶ πόλεις αἵδε· Εὐάνθις, Ἄμφισσα. Εἰσὶ
δὲ καὶ τούτοις πόλεις ἐν μεσογείᾳ. Παράπλους δ' ἐστὶ τῆς
Λοκρῶν χώρας τὸ ἥμισυ ἡμέρας. 38. Μετὰ δὲ Λοκρούς εἰσιν
Φωκεῖς[3]) ἔθνος κατὰ τὸ Κιῤῥαῖον[4]) πεδίον· καὶ τὸ ἱερὸν
τοῦ Ἀπόλλωνος καὶ Δελφοὶ πόλις καὶ Ἀντίκυρα[5]) πόλις,
οὗ βέλτιστα ἑλλεβορίζονται. Παράπλους δὲ τῆς Φωκέων χώρας
ἥμισυ ἡμέρας. | 39. Μετὰ δὲ Φωκεῖς Βοιωτοί εἰσιν ἔθνος 15 H.
καὶ πόλεις αἵδε· Κορσιαί, Σίφαι[6]) καὶ Κρεῦσις, λιμὴν εὔτρη-
τος[7]), καὶ τεῖχος τῶν Θεσπιέων. Παράπλους δὲ τῆς Βοιωτίας
ἥμισυ ἡμέρας ἐλάττων[8]). 40. Μετὰ δὲ Βοιωτοὺς Μεγαρεῖς
εἰσὶν ἔθνος καὶ πόλεις αἵδε· Αἰγόσθενα[9]), Πηγαί, τεῖχος
Γεράνεια, Αἴγειρος[10]). Παράπλους δὲ τῆς Μεγαρέων χώρας
στάδια ἑκατόν. 41. Μετὰ δὲ Μεγαρεῖς ἡ Κόρινθος πόλις
καὶ ἱερὸν Ἥρας, Λέχαιον[11]), ἰσθμός. Ἐντεῦθεν ἤδη ἄρχεται
ἡ Πελοπόνησος. Ἔστι δ' ἀπὸ θαλάττης ἡ ὁδὸς πρὸς τὴν
ἐφ' ἡμῶν θάλατταν διὰ τοῦ ἰσθμοῦ στάδια τετταράκοντα·
ταῦτα κολπώδη πάντα. Παράπλους δὲ τῆς Κορινθίων χώρας
ἥμισυ ἡμέρας. 42. Μετὰ δὲ Κόρινθον Σικυὼν πόλις. Ταύτης
παράπλους στάδια ἑκατὸν εἴκοσιν. 43. Μετὰ δὲ Σικυῶνα
Ἀχαιοὶ ἔθνος, καὶ πόλεις εἰσὶν ἐν αὐτοῖς αἵδε· Πελλήνη,
Αἴγειρα[12]), Αἰγαί, Αἴγιον, Ῥύπες, | ἔξω δὲ Ῥίου Πάτραι, 16 H.
Δύμη. Παράπλους δὲ τῆς Ἀχαΐας χώρας στάδια ἑπτακόσια[13]).

---

1) μύκαρνα, em. Salmas. — 2) αὐτήν, em. Gailius. — 3) ἔθνος φωκεῖς. — 4) κούραιον, em. Palmer. — 5) ἐν τῇ κύρᾳ. — 6) σφάσις, em. Voss. — 7) καὶ λιμὴν εὔτριτος καὶ τεῖχος τῶν βοιωτῶν, emend. Forchhammerus (in: Halcyonia, Berolini 1857, p. 16 sq.). — 8) ἔλαττον. — 9) λιγόθθεναι, em. Salmas. — 10) ἄρις, em. Gronov. — 11) ἅγιον, em. C. Mueller. — 12) ἄσπρα, αἴγειον, αἰγαιάς, ῥύπος, ἐξωχερίον, emend. Voss., Palmer., Gail. et Od. Muellerus. — 13) ὀκτακόσια voluit Lapieus.

44. *Μετὰ δ' Ἀχαιοὺς Ἦλις ἐστὶν ἔθνος, καὶ πόλεις ἐν αὐτῇ αἵδε· Κυλλήνη, καὶ λιμήν*[1]), *καὶ ποταμὸς Ἀλφειός· ἔστι δὲ καὶ ἄλλων*[2]) *συνοικία πόλεων Ἦλις*[3]) *ἐν μεσογείᾳ. Κατὰ ταύτην τὴν χώραν ἐστὶ νῆσος Ζάκυνθος, ἐν ᾗ καὶ πόλις καὶ λιμήν. Παράπλους δὲ τῆς Ἠλείων χώρας ἄχρι ἐπὶ τοὺς Λεπρεατῶν ὅρους*[4]) *στάδια ἑπτακόσια.* 45. *Μετὰ δ' Ἦλιν Ἀρκαδία ἔθνος ἐστίν. Καθήκει δὲ ἡ Ἀρκαδία ἐπὶ θάλατταν κατὰ Λέπρεον*[5]) *ἐκ μεσογείας. Εἰσὶ δ' αὐτῶν πόλεις ἐν μεσογείᾳ αἱ μεγάλαι αἵδε· Τεγέα, Μαντίνεια, Ἡραία, Ὀρχομενός, Στύμφαλος. Εἰσὶ δὲ καὶ ἄλλαι πόλεις. Παράπλους δὲ τῆς Λεπρεατῶν χώρας στάδια ἑκατόν.* 46. *Μετὰ δ' Ἀρκαδίαν ἐστὶν ἔθνος Μεσσήνη, καὶ πόλεις ἐν αὐτῇ αἵδε· Κυπάρισσος*[6]) *ἀπέχουσα ἀπὸ θαλάττης στάδια ἑπτά, Πρωτὴ νῆσος καὶ λιμήν, Ἰθώμη ἐν μεσογείᾳ ἀπέχουσα ἀπὸ θαλάττης στάδια ὀγδοήκοντα*[7]). *Παράπλους δὲ τῆς Μεσσηνίας χώρας στάδια τριακόσια.* 47. *Μετὰ δὲ Μεσσήνην ἐστὶ*[8]) *Λακεδαί-*
17 H. *μων ἔθνος καὶ πόλεις ἐν | αὐτῇ εἰσὶν αἵδε· Ἀσίνη, Μοθώνη*[9]), *Ψαμαθοῦς λιμὴν καὶ ἀντίπυγος τούτου Ἀχίλλειος*[10]) *λιμήν — τούτων ἀμφοτέρων ἐν μέσῳ προέχον εἰς θάλατταν ἱερὸν Ποσειδῶνος, Ταίναρος —, καὶ Λᾶς πόλις καὶ λιμήν, Γύθειον, ἐν ᾧ νεώριον καὶ τεῖχος, καὶ ποταμὸς Εὐρώτας καὶ Βοῖα πόλις καὶ Ὄνου γνάθος*[11]) *ἄκρα. Κατὰ ταύτην κεῖται Κύθηρα νῆσος καὶ πόλις καὶ λιμήν. Κατὰ ταύτην ἐστὶ Κρήτη νῆσος. Μετὰ δὲ τὴν προειρημένην ἄκραν ἑτέρα ἄκρα Μαλέα*[12]), *Σίδη πόλις καὶ λιμήν, Ἐπίδαυρος πόλις καὶ λιμήν, Πρασία πόλις καὶ λιμήν, Μέθανα πόλις καὶ λιμήν. Εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ πόλεις Λακεδαιμονίων. Ἐν μεσογείᾳ δ' ἐστὶ Σπάρτη καὶ ἄλλαι πολλαί. Παράπλους δὲ τῆς Λακεδαιμονίων χώρας ἡμερῶν τριῶν.* 48. *Κατὰ Λακεδαίμονα νῆσος κεῖται Κρήτη· ἐγγυτάτω γὰρ*

---

1) Sinum Hyrmines intellegit E. Curtius in Pelopon. vol. II. p. 104. — 2) *ἄλλη*, em. Bursian. — 3) *ἠλιεῖς*, em. Letronne. — 4) *ὅρους* omittit. — 5) *λεπρέων*, em. Gail. — 6) *αἵδε· πρώτη μεσσήνη καὶ λιμὴν κυπάρ.*, C. Muell. emend. et verba *πρ. μ. κ. λ.* post: *στάδια ἑπτά* posuit. — 7) Lapieus *ἑκατὸν εἴκοσιν* maluit. — 8. Verba *Μετὰ δ. Μεσ. ἐστὶ* omitt., Gail. adjecit. — 9) *μοθώνη*, *ἀσίνη*, em. C. Muell. — 10) Voces *Ψαμαθοῦς* et *Ἀχίλλειος* invicem transponit. — 11) *μαλέα*, em. C. Mueller. — 12) *μετὰ δὲ ταύτην ἡ προειρημένη ἄκρα Μαλέα*, em. C. Mueller.

*Λακεδαίμων κεῖται τῆς Εὐρώπης. Διάπλους δ' ἀπὸ Λακε-
δαίμονος ἕως ἐπὶ τὸ ἀκρωτήριον τῆς Κρήτης, ἐφ' ᾧ ἐστὶ
πόλις Φαλάσαρνα, ἡμέρας δρόμος. Ἀπὸ δὲ Φαλασάρνων
Κριοῦ μέτωπόν ἐστιν ἀκρωτήριον· πρὸς νότον δ' ἄνεμον
πλοῦς εἰς Λιβύην· ἐπὶ Χεῤῥονήσους δὲ τὰς | Ἀζίριδας*[1]) 18 H.
*τὰς Κυρηναίων πλοῦς ἡμέρας καὶ νυκτός. Ἔστι δὲ ἡ Κρήτη
μακρὰ στάδια χίλια καὶ ἑξακόσια*[2]), *στενὴ δὲ καὶ τέταται
ἀφ' ἡλίου δυσμῶν πρὸς ἡλίου ἀνατολάς. Οἰκοῦσι δ' ἐν
Κρήτῃ Ἕλληνες, οἱ μὲν ἄποικοι Λακεδαιμονίων οἱ δ' Ἀρ-
γείων οἱ δ' Ἀθηναίων οἱ δ' ἀπὸ τῆς Ἑλλάδος τῆς ἄλλης,
ὁπόθεν ἔτυχεν. Εἰσὶ δέ τινες αὐτῶν καὶ αὐτόχθονες. Πόλεις
πολλαὶ ἐν Κρήτῃ. Ἐπὶ Κωρύκῳ ἀκρωτηρίῳ ἐστὶ πρώτη*[3])
*πόλις πρὸς ἥλιον δυόμενον ἡ προειρημένη Φαλάσαρνα καὶ
λιμὴν κλειστός· Πολυῤῥηνία*[4]), *καὶ διήκει ἀπὸ βορέου πρὸς
νότον. Δικτυνναῖον Ἀρτέμιδος ἱερὸν πρὸς βορέαν ἄνεμον
τῆς χώρας Περγαμίας, πρὸς νότον δὲ Ὑρτακίνα*[5]). *Κυδω-
νία καὶ λιμὴν κλειστὸς πρὸς βορέαν, ἐν μεσογείᾳ δ' Ἔλυρος*[6])
*πόλις, πρὸς νότον δὲ*[7]) *Λίσσα πόλις καὶ λιμὴν παρὰ Κριοῦ
μέτωπον*[8]). *Πρὸς βορέαν δ' ἄνεμον ἡ Ἀπτεραία χώρα. Εἶτα
ἡ Λαμπαία, καὶ διήκει αὕτη ἀμφοτέρωθεν· καὶ ποταμὸς Μεσά-
πος ἐν αὐτῇ ἐστι. Εἶτα δ' Ὀσμίδα, Ἐλευθέρναι πρὸς βορέαν,
πρὸς νότον | δὲ Σύβριτα καὶ λιμήν· πρὸς νότον Φαιστός,* 19 H.
*πρὸς βορέαν Ἀξὸς*[9]) *καὶ Κνωσσός*[10])· *πρὸς δὲ νότον Γόρτυνα,
Ῥαῦκος*[11]). *Ἐν μεσογείᾳ δὲ Λύκτος, καὶ διήκει αὕτη ἀμφο-
τέρωθεν. Πρὸς βορέαν δ' ἄνεμον ὄρος Κάδιστον καὶ λιμὴν
ἐν αὐτῷ Ὀλοῦς καὶ Πάν. Εἶτα Πραισὸς*[12]) *διήκει ἀμφοτέρωθεν.
Ἴτανος*[13]) *ἀκρωτήριον Κρήτης πρὸς ἥλιον ἀνίσχοντα. Εἰσὶ
δὲ καὶ ἄλλαι πόλεις ἐν Κρήτῃ· λέγεται δ' εἶναι ἑκατόμπολις.*
49. *Κυκλάδες δὲ αἵδ' εἰσὶ κατὰ τὴν Λακεδαιμονίαν χώραν
οἰκούμεναι· Μῆλος καὶ λιμήν, κατὰ δὲ ταύτην Κίμωλος, κατὰ δὲ*

---

1) *χερρονήσου — ἀλιάδας τῶν*, em. Bursian., cfr. § 90. — 2) *͵βφ'* pro *͵αφ'*. — 3) *κρήτης θέσις ὡς ἀκρωτηρίων. ἔστι πρώτη*, em. C. Mueller. — 4) *πολύρρηνα*, em. Gail. — 5) *ὑρσακίνα*, em. Salmas. — 6) *σάλυρος*, em. Meursius. — 7) *μὲν*. — 8) In codice hic sequuntur verba: *πρὸς βορέαν δὲ ἄνεμον ὄρος κάλλιστον καὶ λιμὴν ἐν αὐτῷ ὅλους καὶ πᾶν*, quae emendata infra post Lycti mentionem cum C. Muellero posui. — Paullo post cod. *μετὰ δὲ ὀσμίδαν*. — 9) *πάξος*, em. Voss. — 10) *κνῶσις*. — 11) *βαῦκος*, em. Holstenius. — 12) *πράσις*, em. Meurs. — 13) *γράνος*, em. Voss.

*ταύτην Ὠλίαρος*[1], *κατὰ δὲ ταύτην Σίκινος*[2] — *αὕτη καὶ πόλις*
—, *κατὰ δὲ ταύτην Θήρα, κατὰ δὲ ταύτην Ἀνάφη, κατὰ δὲ ταύτην*
*Ἀστυπάλαια*[3]. *Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν ἐξε-*
*τραπόμην.* 50. *Μετὰ δὲ Λακεδαίμονα πόλις ἐστὶν Ἄργος*[4]
*καὶ ἐπ'*[5] *αὐτῇ Ναυπλία πόλις καὶ λιμήν. Ἐν μεσογείᾳ δὲ*
*Κλεωναὶ καὶ Μυκῆναι καὶ Τίρυνς. Παράπλους τῆς Ἀργείας*
*χώρας κύκλῳ — ἔστι γὰρ κόλπος ὁ Ἀργολικὸς καλούμενος —*
*στάδια ἑκατὸν πεντήκοντα.* 51. *Μετὰ δ' Ἄργος ἡ Ἐπίδαυρος*
20 H. *χώρα· | καθήκει γὰρ εἰς τὸν κόλπον τοῦτον στάδια τριάκοντα.*
*Μετὰ δὲ τὴν Ἐπιδαυρίαν χώραν Ἁλία καὶ λιμήν. Αὕτη*
*ἐστὶ ἐπὶ τῷ στόματι τοῦ Ἀργολικοῦ κόλπου. Περίπλους ταύ-*
*της ἐστὶ στάδια ἑκατόν.* 52. *Μετὰ δὲ ταύτην Ἑρμιὼν πόλις*
*ἐστὶ καὶ λιμήν. Ταύτης δὲ περίπλους στάδια ὀγδοήκοντα*[6].
*Μετὰ δὲ Ἑρμιόνα Σκύλλαιόν ἐστιν ἀκρωτήριον τοῦ κόλπου*
*τοῦ πρὸς ἰσθμόν· ἔστι δὲ τὸ Σκύλλαιον τῆς Τροιζηνίας.*
*Καταντικρὺ δ' αὐτοῦ ἐστὶ Σούνιον ἀκρωτήριον τῆς Ἀθηναίων*
*χώρας. Κατὰ δὲ τοῦτό ἐστι νῆσος Βέλβινα καὶ πόλις. Τούτου*
*τοῦ κόλπου ἀπὸ τούτου τοῦ στόματος εἴσω εἰς τὸν ἰσθμὸν*
*στάδιά ἐστι ἑπτακόσια τετταράκοντα. Ἔστι δὲ ὁ κόλπος οὗτος*
*αὐτὸς κατὰ στόμα εὐρύτατος*[7]. 53. *Μετὰ δὲ Ἑρμιόνα Τροι-*
*ζηνία πόλις καὶ λιμήν. Παράπλους δ' ἐστὶν αὐτῆς στάδια*
*τριακόσια*[8] *τριάκοντα. Κατὰ*[9] *δὲ ταῦτα νῆσός ἐστι Κα-*
*λαυρία καὶ πόλις καὶ λιμήν· παράπλους δ' ἐστὶν αὐτῆς στάδια*
*τριάκοντα*[10]. *Κατὰ δὲ ταύτην νῆσός ἐστι καὶ πόλις Αἴγινα*
*καὶ λιμένες δύο. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν*
21 H. *ἐξετραπόμην.* | 54. *Μετὰ δὲ Τροιζηνίαν πόλις Ἐπίδαυρος*
*καὶ λιμήν. Παράπλους δὲ τῆς Ἐπιδαύρου χώρας στάδια*
*τριάκοντα*[11]. 55. *Μετὰ δ' Ἐπίδαυρον ἡ Κορινθίων χώρα*
*ἐστὶν ἡ*[12] *πρὸς ἠῶ καὶ τεῖχος Κεγχρειαὶ καὶ ἰσθμός, οὗ*
*ἱερὸν Ποσειδῶνος. Ἐνταῦθα ἡ Πελοπόνησος λήγει. Ἔστι*
*δὲ καὶ ἔξω τοῦ ἰσθμοῦ χώρα Κορινθίοις καὶ τεῖχος Σιδοῦς*

---

1) *νωχίορος*, em. Salmas. — 2) *κίνες*, em. Salmas. — 3) *ἀστυπάλη*, em. Bentley. — 4) *ἄρσος* et mox *ναυτιλία* — *καθῶναι* — *τύρινθα*. — 5) *ἐν*, em. Bursian. — 6) Lapieus *τριακόσια πεντήκοντα* habet. — 7) *εὐθύτατος*, emend. Bursian. — 8) *τριακ.* omittit. — 9) *μετά*. — 10) *τριακόσια*. — 11) *ἑκατὸν τριάκοντα* maluit Lapieus. — 12) *ἡ* omittit, Gail. adjecit.

*καὶ ἕτερον τεῖχος Κρεμμυών. Παράπλους δὲ τῆς Κορινθίων χώρας μέχρι τῶν ὁρίων τῶν Μεγαρέων στάδια τριακόσια.* 56. *Ἀπὸ δὲ τῆς Κορινθίων χώρας Μέγαρα*[1]) *πόλις ἐστὶ καὶ λιμὴν καὶ Νίσαια τεῖχος. Παράπλους δὲ τῆς Μεγαρέων χώρας μέχρις Ἰαπίδος*[2]) — *ἐστὶ γὰρ οὗτος ὅρος τῆς Ἀθηναίων χώρας* — *στάδια ἑκατὸν τετταράκοντα.* 57. *Μετὰ δὲ Μεγαρεῖς εἰσὶν Ἀθηναίων πόλεις. Καὶ πρῶτον τῆς Ἀττικῆς Ἐλευσὶς, οὗ ἱερὸν Δήμητρός ἐστι καὶ τεῖχος*[3]). *Κατὰ τοῦτό ἐστι Σαλαμὶς νῆσος καὶ πόλις καὶ λιμήν. Ἔπειτα ὁ Πειραιεὺς καὶ τὰ σκέλη καὶ Ἀθῆναι. Ὁ δὲ Πειραιεὺς λιμένας ἔχει τρεῖς. Ἀνάφλυστος τεῖχος καὶ λιμήν· Σούνιον ἀκρωτήριον καὶ τεῖχος, ἱερὸν Ποσειδῶνος· Θορικὸς*[4]) *τεῖχος καὶ λιμένες δύο· Ῥαμνοῦς τεῖχος. | Εἰσὶ δὲ καὶ ἄλλοι λιμένες ἐν τῇ* 22 H.
*Ἀττικῇ πολλοί. Περίπλους τῆς Ἀθηναίων χώρας στάδια χίλια καὶ ἑκατὸν τετταράκοντα· ἀπ' Ἰαπίδος χώρας ἐπὶ Σούνιον στάδια τετρακόσια ἐνενήκοντα*[5]), *ἀπὸ Σουνίου μέχρι τῶν ὅρων τῶν Βοιωτίων στάδια ἑξακόσια πεντήκοντα.* 58. *Κατὰ δὲ τὴν Ἀττικήν εἰσι νῆσοι αἱ Κυκλάδες καλούμεναι καὶ πόλεις αἵδε ἐν ταῖς νήσοις. Κέως — αὕτη τετράπολις· Ποιήεσσα πόλις*[6]) *καὶ λιμήν, Κορησσία, Ἰουλίς, Καρθαία*[7]) —, *Ἑλένη, Κύθνος νῆσος καὶ πόλις, Σέριφος νῆσος καὶ πόλις καὶ λιμήν, Σίφνος, Πάρος, λιμένας ἔχουσα δύο, ὧν τὸν ἕνα κλειστόν*[8])· *Νάξος, Δῆλος, Ῥήνη, Σῦρος*[9]), *Μύκονος — αὕτη δίπολις —, Τῆνος καὶ λιμήν, Ἄνδρος καὶ λιμήν. Αὗται μὲν αἱ Κυκλάδες νῆσοι. Ὑπὸ δὲ ταύταις ἕτεραι νῆσοι αἵδε πρὸς νότον*[10])· *Ἴος καὶ λιμήν — ἐν ταύτῃ Ὅμηρος τέθαπται —, Ἄμοργος — αὕτη τρίπολις καὶ λιμήν —, Ἴκαρος — αὕτη δίπολις. Μετὰ δ' Ἄνδρον Εὔβοια νῆσος — αὕτη τετράπολις· — εἰσὶ δ' ἐν αὐτῇ Κάρυστος, Ἐρέτρια καὶ λιμήν, Χαλκὶς καὶ λιμήν, Ἑστίαια καὶ λιμήν. Ἡ δ' Εὔβοια ἀπὸ Κηναίου | Διὸς ἱεροῦ ἐπὶ* 23 H.
*Γεραιστὸν, Ποσειδῶνος ἱερὸν, ἔχει στάδια χίλια καὶ τριακόσια πεντήκοντα. Τὸ δὲ πλάτος στενή ἐστιν ἡ Εὔβοια. Ἐν δὲ*

1) *μεγαρέων.* — et mox *μεγαία* pro *Νίσαια.* — 2) *ἄπιδος* hic et § 57, em. Berkel. — 3) post *τεῖχος* cod. habet: *καὶ νῆσος Σάλαμις.* — 4) *εἰρικός*, em. Emm. Miller. — 5) *ξ΄* pro *υϙ΄*, em. C. Muell. — 6) *Ποιή. πολ.* omittit, Voss. addidit. — 7) *αἶρα*, em. Voss. — 8) *κάθιστον*, em. Gronov. — 9) *σκῦρος*, em. Harduin. — 10) *πρὸς πόντον*, em. Voss.

τῷ Αἰγαίῳ πελάγει εἰσὶ νῆσοι αἵδε· κατ' Ἐρετρίαν Σκῦρος καὶ πόλις, Ἰκὸς — αὕτη δίπολις —, Πεπάρηθος — αὕτη τρίπολις καὶ λιμήν —, Σκίαθος — αὕτη δίπολις καὶ λιμήν. Μετὰ ταῦτα ἐπάνειμι πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν ἐξετραπόμην. 59. Μετὰ δ' Ἀθήνας εἰσὶ Βοιωτοὶ ἔθνος· καθήκουσι γὰρ καὶ οὗτοι ἐπὶ ταύτην τὴν θάλατταν. Καί ἐστιν ἐν αὐτῇ πρῶτον ἱερὸν Δήλιον· Αὐλὶς ἱερόν, Εὔριπος, Σαλγανεὺς[1]) τεῖχος, Ἀνθηδὼν τεῖχος· Θῆβαι, Θεσπιαί, Ὀρχομενὸς ἐν μεσογείᾳ. Εἰσὶ δὲ καὶ ἄλλαι πόλεις. Παράπλους δὲ τῆς Βοιωτίας χώρας ἀπὸ Δηλίου μέχρι τῶν Λοκρῶν[2]) ὁρίων στάδια διακόσια πεντήκοντα. 60. Μετὰ δὲ Βοιωτούς εἰσι Λοκροὶ ἔθνος. Καί εἰσι κατ' Εὔβοιαν αὐτοῖς πόλεις αἵδε· Λάρυμνα, Κῦνος, Ὀποῦς[3]), Ἀλόπη. Εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ Λοκροῖς. Παράπλους δὲ τῆς χώρας αὐτῶν στάδια διακόσια. 61. Μετὰ δὲ Λοκρούς εἰσι Φωκεῖς. Διήκουσι γὰρ καὶ οὗτοι εἰς τὴν θάλατταν ταύτην. Καὶ πόλεις αὐτοῖς εἰσὶν αἵδε· Θρόνιον, Κνημίς,
24 H. Ἐλάτεια, | Πανοπεύς. Εἰσὶ δὲ καὶ ἄλλαι πόλεις αὐτοῖς ἐν μεσογείᾳ. Παράπλους δ' ἐστὶ τῆς Φωκέων χώρας στάδια διακόσια. 62. Μετὰ δὲ Φωκεῖς εἰσὶ Μαλιεῖς καὶ ὁ κόλπος ὁ Μαλιεύς. Ἐν τούτῳ δὲ τῷ κόλπῳ εἰσὶν οἱ Λιμοδωριεῖς καλούμενοι καὶ πόλεις αἵδε[4])· Ἐρινεός, Βοῖον, Κυτίνιον. Εἶτα δὲ[5]) Θερμοπύλαι, Τραχίς, Οἴτη, Ἡράκλεια, Σπερχειὸς ποταμός. 63. Μετὰ δὲ τοῦτόν ἐστι[6]) Μαλιεῦσιν ἡ πρώτη πόλις Λαμία, ἐσχάτη δ' Ἐχῖνος. Εἰσὶ δὲ καὶ ἄλλαι πόλεις Μαλιεῦσι, μέχρι οὗ ὁ κόλπος ἐπιθίγῃ. Καὶ τῇ Μαλιέων χώρᾳ ἐποικοῦσιν ἄνωθεν ἀπὸ μεσογείας Αἰνιᾶνες, καὶ δι' αὐτῶν ῥεῖ ὁ Σπερχειὸς ποταμός. 64. Ἔξω δὲ τοῦ Μαλιέως[7]) κόλπου εἰσὶ[8]) Ἀχαιοὶ Φθιῶται ἔθνος· εἰσὶ δὲ καὶ ἐν τῷ Παγασητικῷ κόλπῳ ἐπ' ἀριστερᾷ εἰσπλέοντι ὡς ἐπὶ τὸ ἥμισυ τοῦ κόλπου. Ἀχαιῶν πόλεις αἵδε· Ἀντρῶνες[9]), Λάρισσα, Μελιταία[10]), Δημήτριον, Θῆβαι. Εἰσὶ δὲ καὶ ἄλλαι πόλεις Ἀχαιοῖς ἐν μεσογείᾳ[11]).

---

1) εὔριπος τεῖχος ἀνθηδώ; — mox pro Θεσπιαί habet θεσπεσιαί et deinde ὀρχόμενος — 2) λευκῶν, em. Palmer. — 3) κυνοσοῦρος, em. Gronovius. — 4) καὶ πόλ. αἵδε omittit. — 5) ἐνταῦθα. — 6) μετὰ δὲ μιλιεῖς ἔθνος· ἔστι δὲ Μαλιεύς. — 7) μαλιέων. — 8) κόλπου· εἰσὶ δὲ ἀχ. — Proxima C. Muell. bene emend. — 9) ἀλίτροπες, em. Palmer. — 10) μελιτιάδες, em. idem. — 11) Excidit periplus Maliensium, Achaeo-

65. *Μετὰ δ' Ἀχαιοὺς Θετταλία.* | *Καθήκει ἐπὶ θάλατταν ἐκ* 25 H.
*μεσογείας κατὰ στενὸν εἰς τὸν Παγασητικὸν κόλπον στάδια
τριάκοντα. Καί εἰσι Θετταλίας πόλεις αἵδε ἐπὶ θαλάττῃ·
Ἀμφαναῖον, Παγασαί· ἐν δὲ μεσογείᾳ Φεραί, Λάρισσα, Φάρ-
σαλος, Κιέριον*[1]*, Πελινναῖον*[2]*, Σκοτοῦσσα, Κρὰννών. Εἰσὶ
δὲ καὶ ἄλλαι πόλεις Θετταλῶν ἐν μεσογείᾳ. Ἡ δὲ Θετταλία
παρήκει ἐν μεσογείᾳ ὑπὲρ Αἰνιάνων καὶ Δολόπων καὶ Μα-
λιέων καὶ Ἀχαιῶν καὶ Μαγνήτων μεχρὶ Τεμπῶν. Τοῦ δὲ
Παγασητικοῦ κόλπου μῆκός ἐστιν ἀπὸ στόματος εἰς τὸν μυχὸν
Παγασῶν πλοῦς προαριστίδιος. Τὸ δὲ στόμα αὐτοῦ ἐστὶ
στάδια πέντε*[3]*. Ἐν δὲ τῷ Παγασητικῷ κόλπῳ ἐστὶ νῆσος
Κικύνηθος καὶ πόλις.* 66. *Ἔθνος δ' ἐστὶ Μαγνήτων*[4]*) παρὰ
θάλατταν, καὶ πόλεις αἵδε· Ἰωλκός, Μεθώνη, Κορακαί, Σπά-
λαδρα, Ὀλιζὼν καὶ*[5] *λιμήν. Ἔξω δὲ τοῦ κόλπου Παγασητικοῦ
Μελίβοια, Ῥιζοῦς, Ἐρυμναί, Πύρρα*[6]*. Ἐν μεσογείᾳ δ' ἐποι-
κοῦσιν Πεῤῥαιβοὶ ἔθνος*[7] *Ἕλληνες. Μέχρις ἐνταῦθά ἐστιν
ἀπ' Ἀμβρακίας συνεχὴς ἡ Ἑλλάς. Ἐπιεικῶς δὲ καὶ ἡ ἐπιθα-
λαττία πᾶσα ἐν Ἑλλάδι ὁμοίως ἐστίν*[8]. | 67. *Ἀπὸ δὲ Πηνειοῦ* 26 H.
*ποταμοῦ Μακεδόνες εἰσὶν ἔθνος, καὶ κόλπος Θερμαῖος. Πρώτη
πόλις Μακεδονίας Ἡράκλειον· εἶτα*[9] *Δῖον, Πύδνα πόλις Ἑλλη-
νίς, Μεθώνη πόλις Ἑλληνὶς καὶ Ἁλιάκμων ποταμός, Ἄλωρος*[10]
*πόλις καὶ ποταμὸς Λουδίας, Πέλλα πόλις καὶ βασίλειον ἐν αὐτῇ
καὶ ἀνάπλους εἰς αὐτὴν ἀνὰ τὸν Λουδίαν. Ἀξιὸς ποταμός, Ἐχέ-
δωρος*[11] *ποταμός, Θέρμη πόλις, Αἴνεια Ἑλληνίς, Παλλήνη ἄκρα
μακρὰ εἰς τὸ πέλαγος ἀνατείνουσα. Καὶ πόλεις αἵδε ἐν τῇ Παλ-
λήνῃ Ἑλληνίδες· Ποτίδαια ἐν τῷ μέσῳ τὸν ἰσθμὸν ἐμφράτ-
τουσα, Μένδη, Ἄφυτις*[12]*, Θραμβηΐς, Σκιώνη, Καναστραῖον
τῆς Παλλήνης ἱερὸν ἀκρωτήριον. Ἔξω δὲ τοῦ ἰσθμοῦ πόλεις
αἵδε· Ὄλυνθος Ἑλληνίς, Μηκύβερνα Ἑλληνίς, Σερμυλία*[13]

---

rum et Magnesiae, quem quatuor dierum esse censuit C. Muellerus. — 1) *ἱερόν.* — 2) *πελλιναῖον, σκότουσα, κράνον.* — 3) *τετταράκοντα* voluit Lapieus. — 4) *ἔθνος ἐστὶ μαγν.* — 5) *ἴσαι.* — 6) *ἐρυμέναι, μύραι*, em. Stiehle. — 7) *ἔθνος περραιβοὶ ἔλλ.* — Post *Ἕλληνες* excidit Penei et Homolii montis mentio, quod e § 34 clare apparet. Ad verba *ἐπιεικῶς κτλ.* cfr. Dionysii Anagraph Graeciae vs. 32 sq. — 8) *καὶ ἐπὶ θαλ˜* (sic!) *πᾶσα ἑλλάδι ὁμ.*, emend. C. Mueller. — 9) *εἶτα* omittit. — 10) *ἀλωρίς* et mox *λυδίας* et tum *πολάγιλις* pro *Πέλλα πόλις.* — 11) *δῶρος*, em. Voss. — 12) *ἄφυστις*, em. Hoeschel. — 18) *ἰσμύρια* et mox *συρμονικός*, em. Voss.

Ἑλληνὶς καὶ κόλπος Σερμυλικός, Τορώνη πόλις Ἑλληνὶς καὶ
λιμήν, Δῖον Ἑλληνίς, Θυσσὸς[1]) Ἑλληνίς, Κλεωναὶ Ἑλληνίς,
Ἄθως ὄρος, Ἀκρόθωοι[2]) Ἑλληνίς, Χαραδροῦς Ἑλληνίς, Ὀλό-
27 H. φυξις Ἑλληνίς, | Ἄκανθος Ἑλληνίς, Ἄλαπτα Ἑλληνίς, Ἀρέ-
θουσα Ἑλληνίς, Βόλβη λίμνη, Ἀπολλωνία Ἑλληνίς. Εἰσὶ δὲ
καὶ ἄλλαι Μακεδονίας ἐν μεσογείᾳ πολλαί. Ἔστι δὲ κολπώ-
δης. Παράπλους δὲ περὶ τοὺς κόλπους τεττάρων ἡμερῶν
καὶ νυκτῶν[3]). Μετὰ δὲ Μακεδονίαν Στρυμὼν ποταμός· οὗτος
ὁρίζει Μακεδονίαν καὶ Θρᾴκην. 68. Διήκει δὲ ἡ Θρᾴκη ἀπὸ
Στρυμόνος ποταμοῦ μέχρι Ἴστρου ποταμοῦ τοῦ ἐν τῷ Εὐξείνῳ
Πόντῳ. Εἰσὶ δ' ἐν Θρᾴκῃ πόλεις Ἑλληνίδες αἵδε· Ἀμφί-
πολις, Φάγρης[4]), Γαληψός, Οἰσύμη[5]), καὶ ἄλλα ἐμπόρια Θα-
σίων[6]). Κατὰ ταῦτά ἐστι Θάσος[7]) νῆσος καὶ πόλις καὶ λιμένες
δύο· τούτων ὁ εἷς κλειστός. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν
ἤπειρον[8]), ὅθεν ἐξετραπόμην. Νεάπολις, κατὰ ταύτην Δάτον
πόλις Ἑλληνίς, ἣν ᾤκισε[9]) Καλλίστρατος Ἀθηναῖος, καὶ πο-
ταμὸς Νέστος, Ἄβδηρα πόλις, Κούδητος ποταμὸς καὶ[10]) πόλεις
Δίκαια καὶ Μαρώνεια. Κατὰ ταῦτα Σαμοθρᾴκη νῆσος καὶ
λιμήν[11]). Κατὰ ταύτην ἐν τῇ ἠπείρῳ ἐμπόρια Δρῦς, Ζώνη,
ποταμὸς Ἕβρος καὶ ἐπ' αὐτῷ τεῖχος Δουρίσκος, Αἶνος πόλις
καὶ λιμήν, τείχη Αἰνίων[12]) ἐν τῇ Θρᾴκῃ, Μέλας κόλπος,
28 H. Μέλας ποταμός, Δερὶς ἐμπόριον, Κῶβρυς | ἐμπόριον Καρ-
διανῶν[13]), καὶ ἄλλο Κύπασις. Κατὰ τὸν Μέλανα κόλπον
Ἴμβρος ἐστὶ νῆσος καὶ πόλις καὶ Λῆμνος νῆσος καὶ λιμήν.
Ἐπάνειμι πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν ἐξετραπόμην. Μετὰ
δὲ τὸν Μέλανα κόλπον ἐστὶν ἡ Θρᾳκία[14]) χεῤῥόνησος καὶ
πόλεις ἐν αὐτῇ αἵδε· Καρδία, Ἴδη, Παιών, Ἀλωπεκόννησος,
Ἀράπλους[15]), Ἐλαιοῦς[16]), Μάδυτος[17]), Σηστὸς ἐπὶ τοῦ στό-

---

1) θῦος, em. Voss. — 2) ἀκροθῶται. — 3) δύο ἡμερῶν, em. C. Muell. — 4) φήγρη, em. Voss. — 5) σισύμη, em. Mausacus. — 6) σαγίων, em. Slothouwer. — 7) ἔλσος, em. Voss. — 8) ἐπ. τ. ἤπ. omittit, adjecit in Latinis C. Mueller. — 9) ὁ ἴκος ἐν καλίστρατος. — 10) αἶδε. — 11) κατὰ ταῦτα ἐν τῇ ἠπείρῳ· ἐμπόρια· δρυζώνη· σαμοθράκη· κατατ καὶ λιμήν· ποταμὸς δουρισκός [δουσρικός Emm. Miller.], ἀββαρος· καὶ ἐπ' αὐτῷ τεῖχος· αἶνος, emend. Voss. et ego. — 12) αἴνων, em. Palmer. — 13) καρδανῶν et mox ἄλλος κύπασγις. — 14) θρᾴκη ἀχερρόνησος, em. Voss. — 16) Δράβος maluit C. Muell. — 17) ἐλβιούς, em. Voss. — 17) ἄβυδος, em. Gronov.

ματος τῆς Προποντίδος, ὅ[1]) ἐστι στάδια ἕξ. Ἐντὸς δ' Αἰγὸς ποταμοί, Κρῆσσα, Κριθωτή, Πακτύη. Μέχρις ἐνταῦθα ἡ Θρᾳκία χεῤῥόνησος. Ἐκ Πακτύης δ' εἰς Καρδίαν διὰ τοῦ αὐχένος πεζῇ στάδια τετταράκοντα, ἐκ θαλάττης εἰς θάλατταν· καὶ πόλις ἐν τῷ μέσῳ, ᾗ ὄνομα Ἀγορά. Χεῤῥονήσου μῆκος ἐκ Καρδίας εἰς Ἐλαιοῦντα — ταύτῃ γάρ ἐστι μακροτάτη — στάδια τετρακόσια[2]). Μετὰ δὲ τὴν χεῤῥόνησόν ἐστι Θρᾴκια τείχη τάδε· πρῶτον Λευκὴ ἀκτή, Τειρίστασις, Ἡράκλεια, Γάνος, Γανιάς[3]), Νέον τεῖχος, Πέρινθος πόλις καὶ λιμήν, Δαύνιον[4]) τεῖχος, Σηλυμβρία πόλις καὶ λιμήν......[5]) Ἀπὸ τούτου ἐπὶ τοῦ στόματος τοῦ Πόντου εἰσὶ στάδια πεντακόσια[6]). Καλεῖται δ' Ἀνάπλους ὁ τόπος ἀνὰ Βόσπορον μέχρις ἂν ἔλθῃς ἐφ' Ἱερόν[7]). | Ἀφ' Ἱεροῦ δὲ τοῦ στόματός 29 H.
ἐστι τοῦ Πόντου εὖρος στάδια ἑπτά[8]). Εἰσὶ δ' ἐν τῷ Πόντῳ πόλεις Ἑλληνίδες αἵδε ἐν Θρᾴκῃ· Ἀπολλωνία, Μεσημβρία, Ὀδησσὸς πόλις[9]), Κάλλατις[10]), καὶ ποταμὸς Ἴστρος. Παράπλους δὲ τῆς Θρᾴκης ἀπὸ Στρυμόνος ποταμοῦ μέχρι Σηστοῦ δύο ἡμέρων καὶ νυκτῶν δύο, ἀπὸ δὲ Σηστοῦ μέχρι στόματος τοῦ Πόντου δύο ἡμερῶν καὶ νυκτῶν δύο, ἀπὸ δὲ τοῦ στόματος μέχρι τοῦ Ἴστρου ποταμοῦ ἡμερῶν τριῶν καὶ νυκτῶν τριῶν. Ὁ σύμπας περίπλους ἀπὸ Θρᾴκης καὶ ποταμοῦ Στρυμόνος μέχρι τοῦ Ἴστρου ποταμοῦ ἑπτὰ[11]) ἡμερῶν καὶ ἑπτὰ νυκτῶν. 69. Μετὰ δὲ Θρᾴκην εἰσὶν Σκύθαι ἔθνος καὶ πόλεις ἐν αὐτοῖς Ἑλληνίδες αἵδε· Τύρις καὶ ποταμός[12]), Νικώνιον[13]) πόλις, Ὀφιοῦσα πόλις. Ἐπὶ δὲ τῇ Σκυθικῇ ἐποικοῦσι Ταῦροι ἔθνος ἀκρωτήριον τῆς ἠπείρου· εἰς θάλατταν δὲ τὸ ἀκρωτήριόν ἐστι. Ἐν δὲ τῇ Ταυρικῇ οἰκοῦσιν Ἕλληνες, καὶ πόλις ἥδε[14])· Χεῤῥόνησος ἐμπόριον· Κριοῦ μέτωπον, ἀκρωτήριον τῆς Ταυρικῆς. Μετὰ δὲ ταῦτά εἰσι Σκύθαι πάλιν· πόλεις δὲ Ἑλλη-

1) ὅ adjecit Clausenius. — 2) τετρακόσια ἑβδομήκοντα Lapieus. — 3) γανίαι. — 4) δαμινόν, em. C. Muell. — 5) Hic excidit sive consilio sive casu Byzantii mentio aliaque ad hanc urbem spectantia, ut supra §. 8. Roma iterum nominanda erat. — 6) ἑξακόσια maluit Lapieus. — 7) ἔλθῃς emend. pro ἔλθῃ C. Muell. — 8) ἑπτακαίδεκα maluit Lapieus. — 9) ὀδησόπολις, em. Palmer. — 10) κάλλαβις, em. Voss. — 11) ὀκτώ bis in codice, emend. C. Muell. — 12) τρίσσης ποτ., em. Bursian. — 13) νεονείων πόλεις. — 14) καὶ πόλις αἵδε.

*νίδες αἵδ' ἐν αὐτῇ· Θευδοσία, Κύταια καὶ Νύμφαιον[1]),*
30 H. *Παντικάπαιον, Μυρμήκιον. Παράπλους εὐθὺς | ἀπὸ Ἴστρου*
*ἐπὶ Κριοῦ μέτωπον τριῶν ἡμερῶν καὶ τριῶν νυκτῶν, ὁ δὲ*
*παρὰ γῆν διπλάσιος· ἔστι γὰρ κόλπος. Ἐν δὲ τῷ κόλπῳ*
*τούτῳ νῆσός ἐστι, νῆσος δ' ἐρήμη, ᾗ ὄνομα Λευκὴ, ἱερὰ*
*τοῦ Ἀχιλλέως. Ἀπὸ δὲ Κριοῦ μετώπου πλοῦς εἰς Παντικά-*
*παιον ἡμέρας καὶ νυκτός. Ἀπὸ δὲ Παντικαπαίου ἐπὶ τὸ*
*στόμα τῆς Μαιώτιδος λίμνης ἐστὶ στάδια ἑκατὸν εἴκοσιν[2]).*
*Ἡ δὲ Μαιῶτις λίμνη λέγεται εἰς ἥμισυ εἶναι τοῦ Πόντου.*
*Ἐν δὲ τῇ Μαιώτιδι λίμνῃ εὐθὺς εἰσπλέοντι εἰσὶν ἐπ' ἀριστε-*
*ρᾶς Σκύθαι· καθήκουσι γὰρ ἐκ τῆς ἔξω θαλάττης ὑπὲρ τῆς*
*Ταυρικῆς εἰς τὴν Μαιῶτιν λίμνην. Μετὰ δὲ Σκύθας εἰσὶ*
*Σαυρομάται[3]) ἔθνος καὶ ποταμὸς Τάναϊς, ὃς[4]) ὁρίζει Ἀσίαν*
*καὶ Εὐρώπην.* 70. *Ἀφ' Ἡρακλείων στηλῶν τῶν ἐν τῇ Εὐρώπῃ*
*περιπλέοντι τοὺς κόλπους παρὰ γῆν, λογιζομένῳ δὲ ὅσαι[5])*
*γεγραμμέναι εἰσὶ νύκτες ἀντὶ τούτων ἡμέρας καὶ, ὅπου στάδιά*
*εἰσι γεγραμμένα, ἀντὶ τῶν πεντακοσίων σταδίων ἡμεραῖον*
*τὸν πλοῦν, γίγνεται τῆς Εὐρώπης ὁ παράπλους — τοῦ ἡμί-*
*σεως μέρους τοῦ Πόντου ὄντος ἴσου καὶ τῆς Μαιώτιδος[6])*
*λίμνης — ἡμερῶν ἑκατὸν πεντήκοντα τριῶν. Μέγιστοι δὲ*
*ποταμοί εἰσιν ἐν τῇ Εὐρώπῃ ὁ Τάναϊς, ὁ Ἴστρος, ὁ Ῥοδανός.*
31 H. | 71. *Ἀπὸ Ταναΐδος δὲ ποταμοῦ ἄρχεται ἡ Ἀσία. Καὶ*
*πρῶτον ἔθνος αὐτῆς ἐστιν ἐν τῷ Πόντῳ Σαυρομάται· Σαυ-*
*ροματῶν δ' ἐστὶν ἔθνος γυναικοκρατούμενον. Τῶν γυναικο-*
*κρατουμένων ἔχονται Μαιῶται. Μετὰ δὲ Μαιώτας Σινδοὶ[7])*
*ἔθνος. Διήκουσι γὰρ οὗτοι καὶ εἰς τὸ ἔξω τῆς λίμνης. Καί*
*εἰσιν ἐν αὐτοῖς[8]) πόλεις Ἑλληνίδες αἵδε· Φαναγόρου πόλις,*
*Κῆποι, Σινδικὸς λιμήν, Πάτους[9]). Μετὰ δὲ Σινδικὸν λιμένα*
*Κερκέται ἔθνος. Μετὰ δὲ Κερκέτας Τορέται ἔθνος[10]) καὶ*
*πόλις Ἑλληνὶς Τορικὸς καὶ λιμήν. Μετὰ δὲ Τορέτας Ἀχαιοὶ*

---

1) *νυμφαία παντικάπιον μυρμηκόν.* — 2) *κ'* pro *ρκ'*. — 3) Verba *Μετὰ δὲ Σκύθας εἰσὶ* omittit et *Συρμάται* hic habet. -- 4) *ὅς* adjecit Niebuhrius. — 5) *λογιζομένοις σῶσαι*, em. Gronov. — 6) *τοῦ πόντου ὄντος ἴσου καὶ τοῦ ἡμίσεος μέρους τῆς μαιώτιδος.* — 7) *σιντοί*, em. Gail. — 8) *πόλεις ἐν αὐτοῖς*, et sic etiam C. Muell. — 9) Pro *Πάτους* Stiehleus maluit *Πιτυοῦς*. — 10) Verba *Μετά δὲ Κ. Τ. ἔθνος* omittit, in cod. Palatino male paullo post ponuntur post: *Τορικὸς καὶ λιμήν*, C. Muell. emend.

ἔθνος. Μετὰ δ' Ἀχαιοὺς Ἡνίοχοι ἔθνος. Μετὰ δὲ Ἡνιόχους
Κοραξοὶ ἔθνος[1]). Μετὰ δὲ Κοραξοὺς Κωλικὴ[2]) ἔθνος. | Μετὰ 32 H.
δὲ Κωλικὴν Μελάγχλαινοι ἔθνος, καὶ ποταμὸς ἐν αὐτοῖς
Μετάσωρις καὶ Αἰγίπιος ποταμός. Μετὰ δὲ Μελαγχλαίνους
Γελωνοί[3]). Μετὰ δὲ τούτους Κόλχοι ἔθνος καὶ Διοσκουριὰς[4])
πόλις καὶ Τυηνὸς πόλις Ἑλληνὶς καὶ Τυηνὸς ποταμὸς καὶ
Χερόβιος ποταμός, Χῶβος[5]) ποταμός, Χαρίεις ποταμός, Φᾶσις
ποταμὸς καὶ Φᾶσις Ἑλληνὶς πόλις, καὶ ἀνάπλους ἀνὰ τὸν
ποταμὸν σταδίων ἑκατὸν ὀγδοήκοντα εἰς πόλιν μεγάλην[6])
βάρβαρον, ὅθεν ἡ Μήδεια ἦν. Ἐνταῦθά ἐστι Ῥὶς ποταμός,
Ἶσις ποταμός, Ληστῶν ποταμός, Ἄψαρος ποταμός. 72. Μετὰ
δὲ τοὺς Κόλχους Βύζηρες ἔθνος καὶ Ἀρχαβὼν[7]) ποταμὸς καὶ
Ἀρίων ποταμός. Μετὰ δὲ Βύζηρας Ἐκεχειριεῖς ἔθνος καὶ
ποταμὸς Πορδανὶς καὶ Ἀραβὶς ποταμός, Λίμνη πόλις, Ἀδιη-
νὸς[8]) πόλις Ἑλληνίς. Μετὰ δ' Ἐκεχειριεῖς Βέχειροι | ἔθνος, 33 H.
Βεχειρικὸς λιμήν, Βεχειριὰς[9]) πόλις Ἑλληνίς. Μετὰ δὲ Βε-
χείρους Μακροκέφαλοι ἔθνος καὶ Ψωρῶν λιμήν, Τραπεζοῦς
πόλις Ἑλληνίς. Μετὰ δὲ Μακροκεφάλους Μοσσύνοικοι ἔθνος
καὶ Ζεφύριος λιμήν, Χοιράδες πόλις Ἑλληνίς, Ἄρεως νῆσος.
Οὗτοι ὄρη κατοικοῦσιν. Μετὰ δὲ Μοσσυνοίκους ἔθνος ἐστὶ
Τιβαρηνοί. Μετὰ δὲ Τιβαρηνοὺς Χάλυβές εἰσιν ἔθνος καὶ
Γενήτης[10]) λιμὴν κλειστός, Σταμένεια[11]) πόλις Ἑλληνὶς καὶ
Ἰασονία ἀκρόπολις Ἑλληνίς. Μετὰ δὲ Χάλυβας Ἀσσυρία
ἐστὶν ἔθνος καὶ ποταμὸς Θερμώδων καὶ πόλις Ἑλληνὶς Θεμί-
σκυρα, Λύκαστος ποταμὸς καὶ πόλις Ἑλληνίς, Ἅλυς ποταμὸς
καὶ Κάρουσσα πόλις Ἑλληνίς, Σινώπη πόλις Ἑλληνίς, Κερα-
σοῦς πόλις Ἑλληνὶς καὶ Ὀχέραινος ποταμός, Ἁρμένη πόλις
Ἑλληνὶς καὶ λιμήν, Τετράκις πόλις Ἑλληνίς. | 73. Μετὰ δ' 34 H.
Ἀσσυρίαν ἐστὶ Παφλαγονία ἔθνος. Ἔστι δ' ἐν αὐτῇ Στε-

---

1) Verba *Μετὰ δὲ Ἡν. Κ. ἔθ.* omittit. — 2) *κορικὴ* et mox *κωρικὴν*. — 3) *γέλωνες*. — 4) *διοσκουρὶς* et mox bis *γυηνός*, C. Muellerus priorem vocem retinuit, alteram mutare maluit; ego mutavi. — 5) *χόρσο* — et mox *ἄριος* pro *Χαρίεις*. — 6) *μαλην μεγάλην*. — 7) *δαραανῶν*, em. C. Mueller. — In verbis proximis fortasse *Πρύτανις* pro *Πορδανίς* et, cum Gronovio, *Ἀθήνη* pro *Λίμνη* scribendum. — 8) *ὠδείνιος*, ex Arriano emendavi. — 9) *βεχειράς*, em. Voss. — 10) *γενέσιντες*, em. Voss. — 11) *ἀμένεια*, em. Clausen. — et mox Voss. *Ἰασονία* pro *ἀσινεία* scripsit.

φάνη λιμήν[1]), Κόλουσσα πόλις Ἑλληνίς, Κίνωλις[2]) πόλις Ἑλληνίς, Κάραμβις πόλις Ἑλληνίς, Κύτωρος πόλις Ἑλληνίς, Σησαμὸς πόλις Ἑλληνὶς καὶ Παρθένιος ποταμός, Τίειον[3]) πόλις Ἑλληνὶς καὶ λιμὴν Ψύλλα καὶ ποταμὸς Καλλίχορος. 74. Μετὰ δὲ Παφλαγονίαν Μαριάνδυνοί εἰσιν ἔθνος. Ἐνταῦθα πόλις ἐστὶν Ἡράκλεια Ἑλληνὶς καὶ ποταμὸς Λύκος καὶ ἄλλος ποταμὸς Ὕπιος. 75. Μετὰ δὲ Μαριανδύνους εἰσὶ Θρᾷκες Βιθυνοὶ ἔθνος, καὶ ποταμὸς Σαγγάριος καὶ ἄλλος ποταμὸς Ἀρτάνης[4]) καὶ νῆσος Θυνιάς — οἰκοῦσι δ' αὐτὴν Ἡρακλεῶται — καὶ ποταμὸς Ῥήβας. Εἶτ' εὐθὺς ὁ Βόσπορος[5]) καὶ τὸ προειρημένον ἱερὸν ἐν τῷ στόματι τοῦ Πόντου καὶ μετὰ τοῦτο πόλις Χαλκηδὼν ἔξω τοῦ πόρου τῆς[6]) Θρᾴκης, μεθ' ἣν ὁ κόλπος ὁ Ὀλβιανός. Παράπλους ἀπὸ Μαριανδυνῶν μέχρι τοῦ μυχοῦ τοῦ κόλπου τοῦ Ὀλβιανοῦ — τοσαύτη γάρ ἐστιν ἡ Βιθυνῶν Θρᾴκη — ἡμερῶν τριῶν. Ἀπὸ δὲ τοῦ στόματος τοῦ Πόντου ἕως ἐπὶ[7]) τὸ στόμα τῆς Μαιώτιδος λίμνης παραπλήσιός ἐστιν ὁ πλοῦς, ὅ τε παρὰ τὴν Εὐρώπην
35 H. καὶ τὴν Ἀσίαν. | 76. Μετὰ δὲ Θρᾴκην Μυσία ἔθνος· ἔστι δὲ τὸ ἐπ' ἀριστερᾷ τοῦ Ὀλβιανοῦ κόλπου ἐκπλέοντι εἰς τὸν Κιανὸν κόλπον μέχρι Κίου. Ἡ δὲ Μυσία ἀκτή ἐστι. Πολεῖς δ' ἐν αὐτῇ Ἑλληνίδες εἰσὶν αἵδε· Ὀλβία καὶ λιμήν, Καλλίπολις καὶ λιμήν, ἀκρωτήριον τοῦ Κιανοῦ κόλπου καὶ ἐν ἀριστερᾷ Κίος πόλις καὶ Κίος ποταμός. Παράπλους δὲ τῆς Μυσίας εἰς Κίον ἡμέρας μιᾶς. 77. Μετὰ δὲ Μυσίαν Φρυγία ἐστὶν ἔθνος, καὶ πόλεις Ἑλληνίδες αἵδε· Μύρλεια καὶ Ῥύνδακος ποταμὸς καὶ ἐπ' αὐτῷ Βέσβικος νῆσος, καὶ πόλις Πλακία[8]) καὶ Κύζικος ἐν τῷ ἰσθμῷ, ἐμφράττουσα τὸν ἰσθμόν, καὶ ἐντὸς τοῦ ἰσθμοῦ Ἀρτάκη. Κατὰ ταύτην[9]) νῆσός ἐστι καὶ πόλις Προκόννησος καὶ ἑτέρα νῆσος εὐλίμενος Ἐλαφόννησος. Γεωργοῦσι δ' αὐτὴν Προκοννήσιοι. Ἐν δὲ τῇ ἠπείρῳ πόλις ἐστὶ Πρίαπος, Πάριον[10]), Λάμψακος, Περκώτη, Ἄβυδος, καὶ τὸ στόμα κατὰ Σηστὸν τῆς Προποντίδος τοῦτό ἐστιν.

---

1) λϊμίης (superscript κυ), fort. πόλις καὶ λιμήν. — 2) κορωνίς, em. Gail. — Mox Κάραμβις dedit Voss. pro κάραμως. — 3) τίθιον. — 4) ἀρτώνης, em. Voss. — 5) πόρος, em. C. Muell. cfr. § 68. — 6) Egregie addidit C. Muell. verba τοῦ π. τῆς. — 7) ἐπί omittit, Gail. adjecit. — 8) πλακίου, em. Clausen. — 9) ταύτῃ. — 10) σάριος, em. Voss.

78. Ἐντεῦθεν δὲ Τρῳὰς ἄρχεται καὶ πόλεις Ἑλληνίδες εἰσὶν ἐν αὐτῇ αἵδε· Δάρδανος, Ῥοίτειον[1]), Ἴλιον — ἀπέχει δ' ἀπὸ τῆς θαλάττης στάδια εἴκοσι πέντε — καὶ ἐν αὐτῇ ποταμὸς Σκάμανδρος· καὶ νῆσος κατὰ ταῦτα κεῖται Τένεδος καὶ λιμὴν, ὅθεν Κλεόστρατος ὁ ἀστρόλογός ἐστι. | Καὶ ἐν τῇ ἠπείρῳ 36 H.
Σίγη[2]) καὶ Ἀχιλλεῖον καὶ Κρατῆρες Ἀχαιῶν, Κολωναί, Λάρισσα, Ἁμαξιτὸς καὶ ἱερὸν Ἀπόλλωνος, ἵνα Χρύσης ἱερᾶτο. 79. Ἐντεῦθεν δ' Αἰολὶς χώρα καλεῖται. Αἰολίδες δὲ πόλεις ἐν αὐτῇ εἰσὶν ἐπὶ θαλάττῃ αἵδε· Ἄσσος[3]), Γάργαρα, Ἄντανδρος, ἐν δὲ μεσογείᾳ αἵδε· Κεβρήν, Σκῆψις, Νεάνδρεια, Πιτύεια. Παράπλους Φρυγίας ἀπὸ Μυσίας μέχρις Ἀντάνδρου[4]) . . . . 80. Κατὰ ταῦτά ἐστι νῆσος Αἰολὶς Λέσβος, πέντε πόλεις ἔχουσα ἐν αὐτῇ τάσδε· Μήθυμναν, Ἄντισσαν, Ἐρεσσόν, Πύῤῥαν καὶ λιμένα, Μιτυλήνην λιμένας ἔχουσαν δύο. Κατὰ δὲ ταύτην νῆσός ἐστι καὶ πόλις· ὄνομα δὲ ταύτῃ[5]) Πορδοσελήνη. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν ἐξετραπόμην ἐπὶ τὰς νήσους. 81. Ἀπ' Ἀντάνδρου καὶ τῆς Αἰολικῆς τὰ[6]) κάτω ἦν πρότερον μὲν δι' αὐτὴν ἡ χώρα Μυσία μέχρι Τευθρανίας, νῦν δὲ Λυδία. Μυσοὶ δ' ἐξανέστησαν εἰς τὴν ἤπειρον ἄνω. Εἰσὶ δὲ πόλεις ἐν αὐτῇ Ἑλληνίδες καὶ ἐν τῇ Λυδίᾳ αἵδε· Ἄστυρα, οὗ τὸ ἱερὸν Ἀρτέμιδος[7]), καὶ Ἀδραμύττιον. Εἶτα δὲ ἡ[8]) χώρα Λεσβία, καὶ ὑπὲρ ταύτης ἡ Χίων χώρα καὶ πόλις
| Ἀταρνεύς. Ὑπὸ δὲ ταῦτα ἐπὶ θάλατταν πόλις καὶ[9]) λιμὴν 37 H.
Πιτάνη καὶ ποταμὸς Κάϊκος. Μετὰ Πιτάνην Ἐλαία, Γρύνειον Ἀχαιῶν λιμήν· ἐν τούτῳ λέγονται[10]) Ἀχαιοὶ βουλεύσασθαι, ἐπὶ τὸν Τήλεφον πότερον στρατεύοιεν ἢ ἀπίοιεν. Πόλις Μύρινα καὶ λιμήν, Κύμη καὶ λιμήν, — ὑπὲρ δὲ Κύμης ἐν μεσογείᾳ πόλις Ἑλληνίς ἐστιν Αἰγαί — καὶ Λεῦκαι[11]) καὶ λιμένες καὶ Σμύρνα, ἐξ ἧς[12]) Ὅμηρος ἦν, Φώκαια καὶ λιμὴν

---

1) ῥύτειον. — 2) τοίχη καὶ ἀγιαλεῖον, em. Gronov. — 3) Verba: Ἄσσος — αἵδε adjecit C. Muell. — 4) Excidit numerus stadiorum; Lapieo sunt 2625. — 5) ταύτης C. Mueller. — 6) ἰνδίσης τὸ et mox αὐτήν, em. C. Muell. „sui iuris erat“. — 7) τό ἱερὸν οἱ (sic) ἀδραμύττιον, em. Voss. — 8) ἡ δὲ χ. et mox κίων pro Χίων. — 9) πόλ. καὶ adjecit C. Muell. — In proximis cod. Paris. πατάνη et καϊκός, sed mox πιτάνην. — 10) λέγεται, ut ante χρύνειον. — 11) Haec verba ita scribenda erant: Φώκαια καὶ λιμήν, Λεῦκαι καὶ λιμένες, Ἕρμος ποταμός, Σμύρνα, ἐξ ἧς Ὅμ. ἦν, Κλαζ. — 12) ἐν ᾗ, em. optime C. Muell.

καὶ Ἕρμος ποταμός, Κλαζομεναὶ καὶ λιμήν, Ἐρυθραὶ καὶ λιμήν. Κατὰ δὲ ταύτας νῆσός ἐστι Χίος καὶ λιμήν. Ἐπάνειμι πάλιν ἐπὶ τὴν ἤπειρον. Γέραι[1] πόλις καὶ λιμήν, Τέως πόλις καὶ λιμήν, Λέβεδος, — Κολοφὼν ἐν μεσογείᾳ, — Νότιον[2] καὶ λιμήν, Ἀπόλλωνος Κλαρίου ἱερόν, Κάϋστρος ποταμός, Ἔφεσος καὶ λιμήν, Μαραθήσιον καὶ ἐν τῇ μεσογείᾳ[3] Μαγνησία πόλις Ἑλληνίς, Ἀναία, Πανιώνιον, Ἐρασιστάτιος, Χαραδροῦς, Φώκαια, Ἀκαδαμίς, Μυκάλη· ἐν τῇ Σαμίων χώρᾳ ταῦτά ἐστιν. Πρὸ δὲ τῆς Μυκάλης Σάμος ἐστὶ νῆσος πόλιν ἔχουσα καὶ λιμένα κλειστόν. Αὕτη ἡ νῆσος οὐκ ἐλάττων ἐστὶ Χίου. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν ἐξετραπόμην. Ἐπὶ τῆς Μυκάλης ἐστὶ πόλις Πριήνη λιμένας ἔχουσα δύο,
38 H. ὧν τὸν ἕνα κλειστόν. | Εἶτα ποταμὸς Μαίανδρος. Παράπλους δὲ Μυσίας καὶ Λυδίας, ἀπ' Ἀστύρων[4] μέχρι Μαιάνδρου ποταμοῦ, δύο ἡμερῶν καὶ νυκτὸς μιᾶς. 82. Μετὰ δὲ Λυδίαν Καρία ἐστὶν ἔθνος, καὶ πόλεις ἐν αὐτῇ Ἑλληνίδες αἵδε· Ἡράκλεια, εἶτα Μίλητος, εἶτα Μύνδος καὶ λιμήν, Ἁλικαρνασσὸς καὶ λιμὴν κλειστὸς καὶ ἄλλος λιμὴν περὶ τὴν νῆσον καὶ ποταμός, Κάλυμνα νῆσος, Καρύανδα νῆσος καὶ πόλις καὶ λιμήν — οὗτοι Κᾶρες —, νῆσος Κῶς καὶ πόλις καὶ λιμὴν κλειστός. Κατὰ ταῦτα Κεραμιακὸς κόλπος τῆς Καρίας, καὶ νῆσος Νίσυρος[5] καὶ λιμήν. Ἐπάνειμι πάλιν ἐπὶ τὴν ἤπειρον. Ἀκρωτήριον ἱερὸν Τριόπιον, Κνίδος πόλις Ἑλληνὶς καὶ χώρα ἡ Ῥοδίων ἡ[6] ἐν τῇ ἠπείρῳ, Καῦνος Καρικὴ πόλις καὶ λιμὴν κλειστός, Κράγος[7] ἀκρωτήριον. Ῥόδος κατὰ τοῦτο νῆσος καὶ πόλις· καὶ[8] τρίπολις ἀρχαία ἐν αὐτῇ πόλεις αἵδε· Ἰαλυσός, Λίνδος, Κάμειρος. Κατὰ δὲ τὴν Ῥόδον αἵδε νῆσοί εἰσιν οἰκούμεναι· Χάλκεια, Τῆλος, Κάσος, Κάρπαθος, — αὕτη τρίπολις. Καὶ ὁ παράπλους Καρίας ἀπὸ Μαιάνδρου ποταμοῦ
39 H. ἐπὶ τὸν Κράγον, ὅ ἐστι Καρίας ἀκρωτήριον, | δύο ἡμερῶν.

---

1) ἄγρα, em. C. Muell. — 2) Verba Νότιον κ. λ. post Ἀπ. Κλ. ἱερὸν ponenda erant. — 3) τῇ ἠπείρῳ, quae si retinere velis, Arconnesi insulae mentionem post Μαραθ. excidisse cum C. Muellero statuas. — 4) ἀσσυρίων, em. Voss. — 5) συνησὸς δὴ εὖρος, em. C. Mueller. — 6) καί, em. idem. — 7) Pro Κράγος C. Muellerus hic et in proximis verbis Κρυασσός scripsit, sed nostro talis error condonandus, et si quid mutandum, Πηδάλιον praeferendum videtur. — 8) τρίπ. ἀρχ. καί.

Ἐπάνειμι πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν ἐξετραπόμην. 83. Ἀπὸ
δὲ Καρίας Λυκία ἐστὶν ἔθνος, καὶ πόλεις Λυκίοις αἵδε· Τελ-
μισσὸς καὶ λιμήν, καὶ ποταμὸς Ξάνθος, δι' οὗ ἀνάπλους εἰς
Ξάνθον πόλιν[1]), Πάταρα πόλις, ἣ καὶ λιμένα ἔχει· Φελλὸς
πόλις καὶ λιμήν· — κατὰ ταῦτα νῆσός ἐστι Ῥοδίων Μεγίστη·
— Λίμυρα πόλις, εἰς ἣν ὁ ἀνάπλους κατὰ τὸν ποταμόν, εἶτα
Γαγαία[2]) πόλις, εἶτα Χελιδόνιαι — ἀκρωτήριον καὶ νῆσοι δύο
—, καὶ Διονυσιὰς νῆσος, ἀκρωτήριον καὶ λιμὴν Σιδηροῦς.
Ὑπὲρ δὲ τούτου ἐστὶν ἱερὸν Ἡφαίστου ἐν τῷ ὄρει καὶ πῦρ πολὺ
αὐτόματον ἐκ τῆς γῆς καίεται καὶ οὐδέποτε σβέννυται. Καὶ
ἐὰν προέλθῃς ἐπὶ[3]) θαλάττης ἀνώτερον, ἔστι Φασηλὶς πόλις
καὶ λιμήν — ἔστιν ἐνταῦθα[4]) κόλπος — καὶ Ἴδυρος πόλις καὶ
νῆσος, Λυρνάτεια[5]), Ὀλβία, Μάγυδος καὶ ποταμὸς Καταῤ-
ῥάκτης, Πέργη πόλις[6]) καὶ ἱερὸν Ἀρτέμιδος. Εὐθὺς δὲ παρά-
πλους ἐστὶν Λυκίας ἀπὸ Καρίας ἡμέρας καὶ νυκτός, ὁ δὲ
παρὰ γῆν διπλάσιος τούτου· ἔστι γὰρ κολπώδης[7]). 84. Μετὰ
δὲ Λυκίαν ἐστὶ Παμφυλία ἔθνος, καὶ πόλεις ἐν αὐτῇ αἵδε·
Ἄσπενδος πόλις — εἰς ταύτην ὁ ἀνάπλους | γίγνεται κατὰ 40 H.
ποταμόν, ὁ δὲ ποταμός ἐστιν Εὐρυμέδων —, εἶτα πόλις Σύλ-
λειον, ἄλλη πόλις Σίδη, Κυμαίων ἀποικία, καὶ λιμήν. Παρά-
πλους Παμφυλίας ἀπὸ Πέργης ἥμισυ ἡμέρας. Εἰσὶ δὲ καὶ
ἄλλαι πόλεις Παμφυλίας, Κιβύρα, εἶτα Κορακήσιον. 85. Μετὰ
δὲ Παμφυλίαν Κιλικία ἐστὶν ἔθνος, καὶ πόλεις ἐν αὐτῇ αἵδε·
Σελινοῦς, Χαραδροῦς πόλις καὶ λιμήν, Ἀνεμούριον ἄκρα καὶ
πόλις, Νάγιδος πόλις, ἣ[8]) καὶ νῆσον ἔχει. Πρὸς δὲ τὴν Κη-
τὸν[9]) λιμένα Ποσείδειον[10]), Σάλον, Μυοῦς, Κελένδερις πόλις
καὶ λιμὴν Ἀφροδισιὰς καὶ λιμὴν ἕτερος, Ὅλμοι πόλις Ἑλληνὶς
λιμένα ἔχουσα[11]), Σαρπηδὼν πόλις ἔρημος καὶ ποταμός, Σόλοι

---

1) Ξάνθ. πόλ. adj. rectissime C. Muellerus, qui in verbis proximis πόλις pro πόλιν scripsit et ante καὶ λιμ. relativum posuit. — 2) λιγαία, em. Vossius. — 3) ἀπὸ, em. Bursian. — 4) ἔστι δὲ τοῦτο κόλπος. — 5) πολις, νῆσος λυρνάτεια, em. Bursian. — 6) πελπίπολις, em. Salmas. — 7) ἐντεῦθεν παράπλους ἐστιν ἀπὸ λυκίας ἡμέρας καὶ νυκτός· ἔστι γὰρ κολπώδης. ὁ δὲ παρὰ γῆν διπλάσιος τούτου. C. Muellerus prima verba sic scripsit: Ἐπ' εὐθείας δὲ παράπλ., cetera ut in codice leguntur. Bursianus maluit: Ἐνταυθοῖ παράπλους ἐστὶν ἀπὸ Λυκίας ἡμέρας καὶ νυκτός. — 8) ἣ addidit C. Mueller. — 9) σητόν, em. idem. — 10) ποσειθέριον, em. Salmas. — 11) ἀπέχουσα, em. C. Muell.

πόλις Ἑλληνίς, Ζεφύριον πόλις, ποταμὸς Πύραμος καὶ πόλις Μαλλὸς, εἰς ἣν ὁ ἀνάπλους κατὰ τὸν ποταμόν, ἐμπόριον Ἀδάνη καὶ λιμήν, Μυρίανδρος[1]) Φοινίκων, Θάψακος ποταμός. Παράπλους Κιλικίας, ἀπὸ τῶν Παμφιλίας ὁρίων μέχρι Θαψάκου ποταμοῦ, τριῶν ἡμερῶν καὶ νυκτῶν δύο. Ἐκ δὲ Σι-
41 H. νώπης τῆς ἐν τῷ Πόντῳ διὰ τῆς ἠπείρου καὶ | τῆς Κιλικίας εἰς Σόλους ὁδός[2]) ἐστιν ἀπὸ θαλάττης εἰς θάλατταν ἡμερῶν πέντε. 86. Κατὰ δὲ Κιλικίαν ἐστὶ νῆσος Κύπρος καὶ πόλεις ἐν αὐτῇ αἵδε· Σαλαμὶς Ἑλληνὶς λιμένα ἔχουσα κλειστὸν χειμερινόν, Καρπάσεια, Κερύνεια, Λήπηθις Φοινίκων, Σόλοι — καὶ αὕτη λιμένα ἔχει χειμερινόν —, Μάριον Ἑλληνίς, Ἀμαθοῦς — αὐτόχθονές εἰσιν. Αὗται πᾶσαι λιμένας ἔχουσι[3]) ἐρήμους. Εἰσὶ δὲ καὶ ἄλλαι πόλεις ἐν μεσογείᾳ βάρβαροι. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὴν ἤπειρον, ὅθεν ἐξετραπόμην. 87. Ἔστι μετὰ Κιλικίαν ἔθνος Σύροι. Ἐν δὲ τῇ Συρίᾳ οἰκοῦσι τὰ παρὰ θάλατταν Φοίνικες ἔθνος, ἐπὶ στενὸν ἔλαττον ἢ ἐπὶ τετταράκοντα στάδια ἀπὸ θαλάττης· ἐνιαχῇ δ' οὐδὲ ἐπὶ στάδια δέκα τὸ πλάτος. Ἀπὸ δὲ Θαψάκου ποταμοῦ ἐστὶ Ἄραδος[4]) νῆσος καὶ λιμήν, βασίλεια Τύρου, ὅσον ὀκτὼ στάδια[5]) ἀπὸ τῆς γῆς, καὶ ἐν τῇ χεῤῥονήσῳ πόλις[6]) Τρίπολις· αὕτη ἐστὶν Ἀράδου καὶ Τύρου καὶ Σιδῶνος· ἐν τῷ αὐτῷ τρεῖς
42 H. πόλεις καὶ περίβολον ἑκάστη τοῦ | τείχους ἴδιον ἔχει[7])· καὶ ὄρος Θεοῦ πρόσωπον, Τριήρης[8]) πόλις καὶ λιμήν, Βηρυτὸς πόλις καὶ λιμήν, Λεόντων πόλις[9]), Πορφυρεὼν πόλις, Σιδὼν πόλις καὶ λιμὴν κλειστός, Ὀρνίθων πόλις Σιδωνίων. Ἀπὸ Λεόντων πόλεως μέχρις Ὀρνίθων πόλεως . . . . . . Εἶτα Τυρίων[10]) πόλις Σάραπτα, καὶ αὐτὴ ἡ πόλις[11]) Τύρος λιμένα ἔχουσα ἐντὸς τείχους· αὕτη δὲ ἡ νῆσος βασίλεια Τυρίων[12]) ἀπέχει στάδια ἀπ' ἠπείρου τρία· Παλαίτυρος[13]) πόλις, καὶ ποταμὸς, ὃς[14]) διὰ μέσης ῥεῖ, καὶ πόλις τῶν Ἐκδίππων[15])

1) μυριανδός. — In proximis verbis Thapsacus est is fluvius, qui a ceteris Orontes vocatur. — 2) σολουσίδος, em. Voss. — 3) ἔχουσαι. — 4) ἐστὶ τρίπολις φοινίκων ἄραδος — glossema delevit C. Mueller. — 5) καὶ λιμὴν addit. — 6) ἑτέρα πόλις, em. C. Mueller. — 7) ἔχων. — 8) τῆρος, em. Gronov. — 9) χειμερινός. — 10) Post πόλεως excidit stadiorum numerus et simul vox εἶτα. — 11) σάραπτα εἶτα ἄλλη πόλις. — 12) τυρίον. Mox male ἀπὸ θαλάτης τρία. — 13) πάλιν τύρος, em. Voss. — 14) ὃς adjecit C. Mueller. — 15) Ἐκδίππων omittit.

καὶ ποταμὸς καὶ Ἄκη πόλις. Ἑξῆς Βῆλος[1]) πόλις Τυ[ρίων καὶ Κάρμηλος][2]) ὄρος, ἱερὸν Διός· Ἄραδος πόλις Σιδωνίων, [Συκαμινὼν πόλις] καὶ ποταμὸς Τυρίων· Δῶρος πόλις Σιδωνίων [καὶ Ἰόππη· ἐκτε]θῆναί φασιν ἐνταῦθα τὴν Ἀνδρομ[έδαν τῷ κήτει· καὶ Ἀσκά]λων πόλις Τυρίων καὶ βασίλεια· ἐνταῦθα [ὅρος ἐστὶ τῆς Κοίλης] Συρίας. Παράπλους Κοίλης Συρίας [ἀπὸ Θαψάκου ποταμοῦ μέχρις] Ἀσκάλωνος στάδια δισχίλια καὶ ἑπτακόσια[3]). 88. [Μετὰ δὲ Συρίαν εἰσὶν Ἄραβες] ἔθνος, νομάδες, ἱππεύοντες [καὶ νομὰς ἔχοντες παντοδαπῶν βοσ]κημάτων, οἰῶν καὶ αἰ[γῶν καὶ βοῶν καὶ ἡμιονῶν καὶ μάλιστα ἵππων] καὶ καμήλων· ἔστι[4]) δ' αὐ[τοῖς λιβανωτὸς καὶ σμύρνα εὐώδης καί] ἐστι τὰ πόλλα ἄ[λλα ἀρώματα, ἃ μεταβάλλονται τοῖς ἐμπόροις. Κατὰ] δὲ τὴν Αἴγυπτον [ἐκτείνεται Ἀραβία ἡ Πετραία λεγομένη καί ἐστιν] ἐν αὐτῇ κόλ[πος Αἰλανίτης . . . . . . . . .] ἔστιν ἐκ τῆς [. . . . . . . . . . . . . . .
ἔξω]θεν θαλ[άττης . . . . . . . . . . . . . . . . . . . . . θάλα]τταν
. . . . . . . . . . . . . . . . . καὶ . . . . . . . . . . . . . . . [5]).
Παράπλους Ἀ]ραβίας δ' αὐτῆς ἀπὸ Συρίας ὁρίων μέχρι στόματος τοῦ [Νείλου τοῦ ἐ]ν Πελουσίῳ — τοῦτο γάρ ἐστιν Ἀραβίας ὅρος — στάδια χίλια καὶ τριακόσια. [Μετὰ[6]) δὲ τὴν Ἀ]ραβίαν Αἰγύπτου μέχρι τοῦ Νείλου ἑξῆς Ἀρα[βίας ἔχονται] Αἰγύπτιοι· φόρον δὲ φέρουσιν Αἰγύ[πτιοι καὶ πείθονται] ἀεὶ τοῖς Ἄραψιν. 89. Μετὰ δ' Ἀραβίαν Αἴγυπτός ἐστιν] ἔθνος, καὶ πόλεις ἐν αὐτῇ [αἵδε· Πηλούσιον πόλις καὶ λιμὴν] καὶ βασίλειον, οὗ τὸ στόμα [τοῦ Νείλου ποταμοῦ Πελυσιακόν ἐστι] πρῶτον, τῆς Ἀραβίας [ὅρος· δεύτερον Τανιτικὸν[7]), ἐφ' ᾧ καὶ[8])

1) ἔξω πή πόλις. — 2) Verba uncinis inclusa E. Millerus adjecit, nam in codice folii pars resecta est. — 3) ͵αψ' pro ͵βψ'. — 4) Haec et proxima C. Muellerus ita scribit: ἔστι δὲ αὔ[τη ἡ χώρα λυπρὰ καὶ ἔρημος καὶ] ἔστι τὰ πολλὰ ἄ[νυδρος. Κατὰ δὲ τὸ μέρος αὐτῆς τὸ ἑσπέριον ἐπί] τε τὴν Αἴγυπτον [νεῦον θάλαττα ἐκτείνεται στενή· καὶ εἰσὶν] ἐν αὐτῇ κόλ[ποι ὁ Αἰλανίτης καὶ ὁ Ἡρωοπολίτης· καὶ] ἔστιν ἐκ τῆς [Ἐρυθρᾶς λεγομένης θαλάττης ἢ τῆς ἔξω]θεν θαλ[άττης ἡ Ἀραβία ἕως ἐπὶ τὴν ἡμετέραν θάλα]τταν. — 5) Iam sex versus desiderantur in codice. — 6) Haec C. Muellerus ita restituit: [Φασὶ δ' εἶναι καὶ] Ἀραβίαν Αἰγύπτου μέχρι τοῦ Νείλου ἑξῆς Ἀρα[βικοῦ κόλπου. Οἳ δ' ἐνοικοῦντες εἰσὶν Ἀραβ]αιγύπτιοι, φόρον δὲ φέρουσι Αἰγύπτου βασιλεῦσι, οἳ καὶ πολεμοῦσιν] ἀεὶ τοῖς Ἄραψιν. — 7) Τανικόν. — 8) καὶ adjecit C. Muellerus.

πόλις βασιλι]κή. τρίτον [Μενδήσιον καὶ Μένδης πόλις· τέτρατον Φατνιτικ]όν· πέμπτον Σεβεννυ[τικὸν καὶ πόλις Σεβέννυτος· λίμνη Βοῦτος, ἔν]θα πόλις καὶ βα[σίλειον· ἕκτον Βολβιτινὸν καὶ πόλις βασιλι]κή· ἕβδομον [Κανωπικὸν καὶ Θῶνις πόλις καὶ λιμήν. Μετὰ ταῦτα λίμνη], ᾗ ὄνομα [Μαρεῶτις[1]) ἢ τῆς Μαρείας. Ἡ δὲ λίμνη ὅμορός ἐστι τ]ῇ Λιβύῃ . . . . . . . . . .
εἰ δὲ ἐ . . . . . . . . . . . . . βουλήν . . . . . . . . . . . . . . .
43 H. ἐ . . . . . . . . . . . . . . . [2]) | τὸ δὲ Πηλουσιακόν[3]). Καὶ πάλιν σχίζεται δίχα· τὸ δὲ Σεβεννυτικὸν τὸ μὲν εἰς τὸ Μενδήσιον τὸ δὲ εἰς θάλατταν. Ἀπὸ δὲ τοῦ Μενδησίου εἰς τὸ Φατνιτικὸν στόμα· ἀπὸ δὲ τοῦ Πελουσίου εἰς τὸ Τανικὸν στόμα· τὸ δ' ἀπὸ Κανωπικοῦ μέχρι Σεβεννυτικῆς λίμνης· καὶ στόμα τὸ Βολβιτινὸν ῥεῖ ἐκ τῆς λίμνης. Ἔστι δὲ τὰ πόλλα τὰ παρὰ θάλατταν Αἰγύπτου λίμναι καὶ ἕλη. Ἔστι δὲ ἡ Αἴγυπτος τοιάδε τὴν ἰδέαν ὁμοία πελέκει. Ἔστι γὰρ κατὰ θάλατταν πλατεῖα, κατὰ δὲ μεσογείαν στενωτέρα, κατὰ δὲ Μέμφιν στενωτάτη αὐτῆς[4])· ἔπειτα δ' εἰς μεσογείαν ἀπὸ Μέμφεως ἰόντι πλατυτέρα, κατὰ δὲ τὸ ἀνώτερον αὐτῆς πλατυτάτη. Τὸ μέρος Αἰγύπτου τὸ ἄνωθεν Μέμφεώς ἐστι τριπλάσιον[5]) ἢ τὸ παρὰ θάλατταν. Τὸ δὲ Κανωπικὸν στόμα ὁρίζει Ἀσίαν καὶ Λιβύην. Παράπλους δ' ἐστὶν Αἰγύπτου ἀπὸ Πηλουσιακοῦ στόματος στάδια χίλια καὶ τριακόσια[6]). Τῆς δ' Ἀσίας ὁ περίπλους — ἔστι γὰρ περιφερής — λογιζομένῳ κατὰ τὸν αὐτὸν τρόπον, ὃν περὶ Εὐρώπης γέγραπται, ἡμερῶν ἐστὶ ὀγδοήκοντα ἑπτά. Ἐπὶ δὲ τῷ στόματι τῷ Κανωπικῷ ἐστὶ νῆσος ἐρήμη, ᾗ ὄνομα Κάνωπος, καὶ σημεῖά ἐστιν ἐν αὐτῇ τοῦ Μενέλεω, τοῦ κυβερνήτου τοῦ ἀπὸ Τροίας, ᾧ ὄνομα Κάνωπος, τὸ μνῆμα. Λέγουσι δ' Αἰγύπτιοί τε καὶ οἱ προσ-
44 H. χώριοι οἱ τοῖς τόποις Πηλούσιον ἥκειν[7]) ἐπὶ τὸ Κάσιον | καὶ Κάνωπον ἥκειν ἐπὶ τὴν νῆσον, οὗ τὸ[8]) μνῆμα τοῦ κυβερνήτου.

---

1) Haec C. Muellerus ita scripsit: ὄνομά [ἐστι Μάρεια. Αὕτη δὲ ἡ λίμνη ἤδη ἐστὶν ἐν τ]ῇ Λιβύῃ. — 2) Iterum sex versus desiderantur. — 3) His tribus verbis praemittit C. Muellerus in Latinis haec: Paullo infra Memphim urbem Nilus in tres scinditur alveos, in Canopicum, in Sebennyticum inque —. 4) αὐτῆς, ut mox iterum. — 5) τὸ μέρος τὸ ἄνωθεν μέμφιδος αἰγύπτου ἐστὶ τὸ πλεῖστον ἢ τὸ π. θ. — 6) ,βτ', em. E. Millerus — 7) ἕξειν et deinde ἥξειν. — 8) αὐτό pro οὗ τό, em. Gail.

90. Ἄρχεται ἡ Λιβύη. Ἀπὸ τοῦ Κανωπικοῦ στόματος
τοῦ Νείλου Ἀδυρμαχίδαι[1]) ἔθνος Λιβύων. Ἐκ Θώνιδος δὲ
πλοῦς ἐστὶν[2]) εἰς Φάρον νῆσον ἔρημον[3]) στάδια ἑκατὸν πεντή-
κοντα. Εἰσὶν δ' ἐν αὐτῇ λιμένες πολλοί, ὕδωρ δ' ἐκ τῆς
Μαρείας λίμνης ὑδρεύονται — ἔστι γὰρ πότιμος· — ὁ δ'
ἀνάπλους εἰς τὴν λίμνην βραχὺς ἐκ Φάρου. Ἔστι δὲ καὶ
Χεῤῥόνησος καὶ λιμήν· ἔστι δὲ τοῦ παράπλου στάδια δια-
κόσια[4]). Ἀπὸ Χεῤῥονήσου δὲ Πλίνθινός[5]) ἐστι κόλπος. Τὸ
δὲ στόμα ἐστὶ τοῦ Πλινθίνου κόλπου εἰς Λευκὴν ἀκτὴν πλοῦς
ἡμέρας καὶ νυκτός. Τὸ δ' εἰς τὸν μυχὸν τοῦ Πλινθίνου
κόλπου δὶς τοσοῦτον. Περιοικεῖται δὲ κύκλῳ. Ἀπὸ δὲ Λευκῆς
ἀκτῆς εἰς Λαοδαμάντειον λιμένα πλοῦς ἥμισυ ἡμέρας. Ἀπὸ
δὲ Λαοδαμαντείου λιμένος εἰς Παραιτόνιον λιμένα πλοῦς
ἥμισυ ἡμέρας. Ἔχεται Ἆπις πόλις. Μέχρις οὖν ἐνταῦθα Αἰ-
γύπτιοι ἄρχουσιν. 91. Ἀπὸ δ' Ἄπιθος ἔθνος Λιβύων ἐστὶν
οἱ Μαρμαρίδαι μέχρις εἰς Ἑσπερίδας. Ἀπὸ δ' Ἄπιδος ἐπὶ
Τυνδαρίους[6]) σκοπέλους πλοῦς ἡμέρας. | Καὶ ἀπὸ Τυνδαρίων 45 H.
σκοπέλων εἰς Πλυνὸν[7]) λιμένα πλοῦς ἡμέρας. Ἐκ Πλυνοῦ
εἰς Πέτραντα τὸν μέγαν[8]) πλοῦς ἥμισυ ἡμέρας. Ἐκ Πέτραν-
τος εἰς Μενέλαον πλοῦς ἡμέρας. Ἐκ Μενελάου εἰς Κυρθά-
νειον πλοῦς ἡμέρας. Ἀπὸ Κυρθανείου Ἀντίπυργος[9]) λιμήν·
πλοῦς ἥμισυ ἡμέρας. Ἀπὸ δ' Ἀντιπύργου Πέτρας ὁ μικρὸς,
λιμήν· πλοῦς ἥμισυ ἡμέρας. Ἀπὸ Πέτραντος τοῦ[10]) μικροῦ
αἱ Χεῤῥόνησοι Ἀζίριδες[11]), λιμήν, — ταῦτα τῆς Κυρηναίων
χώρας ἐστί — πλοῦς ἡμέρας. Ἐν δὲ τῷ μέσῳ Πέτραντος καὶ
Χεῤῥονήσων εἰσὶ νῆσοι Ἀηδωνία καὶ Πλάτειαι. Ὕφορμοι δὲ
ὑπ' αὐταῖς[12]) εἰσίν. Ἐντεῦθεν ἄρχεται τὸ σίλφιον φύεσθαι

---

1) C. Muellerus malit: πρῶτον ἔθνος Λιβύων Ἀδυρμαχίδαι. — 2) πλουσ͂ pro πλ. ἐστίν. — 3) Post ἔρημον habet: εὐλίμενος δὲ καὶ ἄνυδρος, glossam marginalem, et post numerum stadiorum pergit: ἐν δὲ φάρῳ. — 4) Lapieus maluit οβʹ. — 5) πλιθίη et mox πενθινοῦ, em. Voss. — 6) τὴν δαρέον, em. Salmas. — 7) πλυνούς et mox πλυνῶν. — 8) πέτράντατον (sic) μέγαν. — 9) ἀντίπυγος, em. Henr. Barthius, ille peregrinator celeberrimus; cfr. eius librum: Wanderungen durch die Küstenländer des Mittelmeeres, vol. I, p. 514 et 550 not. 38. — 10) τοῦ adjecit C. Muell. — 11) χερρόνησοι ἀχιτίδες, em. Bursian; cfr. supra §. 48. — 12) αὐτῶν, em. C. Muell.

ἐν γύαις· παρήκει δ'[1]) ἀπὸ Χεῤῥονήσων διὰ τῆς μεσογείας
μέχρι Ἑσπερίδων παρὰ γῆν ἐγγὺς στάδια χίλια καὶ πεντα-
κόσια[2]) μάλιστα. Ἀφροδισιὰς νῆσος ὕφορμος, Ναύσταθμος
λιμήν. Πλοῦς ἀπὸ Χεῤῥονήσων ἡμέρας μιᾶς· ἀπὸ δὲ Ναυ-
στάθμου εἰς λιμένα τὸν Κυρήνης στάδια ἑκατόν· ἐκ δὲ τοῦ
λιμένος εἰς Κυρήνην στάδια ὀγδοήκοντα. Ἔστι δὲ Κυρήνη
ἐν μεσογείᾳ. Εἰσὶ δὲ οὗτοι οἱ λιμένες πάνορμοι. Καὶ ἄλλαι
δὲ καταφυγαὶ ὑπὸ νησιδίοις καὶ ὕφορμοι καὶ ἀκταὶ πολλαὶ ἐν τῇ
μεταξὺ χώρᾳ. Ἐκ δὲ λιμένος τῆς Κυρήνης μέχρι λιμένος τοῦ
46 H. κατὰ Βάρκην στάδια πεντακόσια· | ἡ δὲ πόλις ἡ Βαρκαίων
ἀπὸ θαλάττης ἀπέχει στάδια ἑκατόν. Ἐκ δὲ λιμένος τοῦ κατὰ
Βάρκην ἐφ' Ἑσπερίδας στάδια ἑξακόσια εἴκοσιν. Ἐκ δὲ Κυρή-
νης εἰσὶ λιμένες, καὶ χωρία[3]) ἐστὶν ἐσχισμένα μέχρι Ἑσπε-
ρίδων τάδε· Φυκοῦς κόλπος· ἄνω δ' ἐνταῦθά ἐστιν ὁ κῆπος
τῶν Ἑπερίδων. Ἔστι δὲ τόπος βαθὺς ὀργυιῶν ὀκτωκαίδεκα,
ἀπότομος κύκλῳ, οὐδαμοῦ ἔχων κατάβασιν· ἔστι δὲ δύο στα-
δίων πανταχῇ, οὐκ ἔλαττον, εὖρος καὶ μῆκος. Οὗτός ἐστι
σύσκιος δένδρεσιν ἐμπεπλεγμένοις ἐν ἀλλήλοις, ὡς ὅτι μά-
λιστα πυκνοτάτοις. Τὰ δένδρα ἐστὶ λωτός, μηλέαι παντο-
δαπαί, ῥοαί, ἄπιοι, μιμαίκυλα, συκάμινα, ἄμπελοι, μυρσίναι,
δάφναι, κισσός, ἐλαίαι, κότινοι, ἀμυγδαλαί, καρύαι. Τῶν δὲ
χωρίων, ἃ οὐκ εἴρηται, ἔστι[4]) κατὰ τὸν κῆπον Ἄμπελος,
Ἆπις[5]) — ἀλάττει στάδια τριάκοντα —, Χεῤῥόνησος, κῆποι
πλεῖστοι, Ζηνερτίς, Ταύχειρα, Καυκαλοῦ κώμη, Ἑσπερίδες
πόλις καὶ λιμὴν καὶ ποταμὸς ἐπὶ τῇ πόλει Ἔκκειος[6]), καὶ[7])
ταῦτα τὰ χωρία ἀπὸ Χερρονήσων τῶν Ἀζιρίδων[8]) τὰ μὲν
Κυρηναίων τὰ δὲ Βαρκαίων ἐστὶ μέχρι Ἑσπερίδων. 92. Ἀπὸ
δὲ Ἑσπερίδων κόλπος ἐστὶ μέγας, ᾧ ὄνομα Σύρτις, ὡς δ'
εἰπεῖν ὅτι μάλιστα εἰκάζοντι σταδίων πεντακισχιλίων[9]). Ἔστιν
αὐτῇ τὸ πλάτος ἀπὸ Ἑσπερίδων εἰς Νέαν πόλιν τὴν πέραν
47 H. πλοῦς ἡμερῶν | τριῶν καὶ νυκτῶν τριῶν. Περιοικοῦσι δ'

1) φύεσθαι γύαις παράγει δέ — C. Muellerus maluit: φύεσθαι ἰθαγενές· παρήκει. — 2) ͵βφ', em. C. Muellerus. — 3) χώρις, em. Salmas. — 4) δέ, quod C. Muell. recte delevit. — 5) ἄπιος. — In proximis C. Muell. pro ἀλάττει malit: ἐν ἄλλοις σταδίοις τρ. — 6) Stiehle pro Ἔκκειος voluit Ληθαῖος. — 7) κατά, em. Gail. — 8) ἀπὸ χερρονησῶν τῶν ἀντίδων, em. Bursian., cfr. §. 48 et 90. — 9) π' pro ͵ε, em. C. Mueller.

*αὐτὴν Νασαμῶνες, Λιβύων ἔθνος*[1]*), μέχρι τοῦ μυχοῦ τοῦ ἐπ' ἀριστερᾷ· τούτων δ' ἔχονται Μάκαι*[2]*), Λιβύων ἔθνος, παρὰ τὴν Σύρτιν μέχρι τοῦ στόματος τῆς Σύρτιδος. Εἰς δὲ τὴν Σύρτιν ἀπὸ Ἑσπερίδων εἰσπλέοντι Ἡράκλειοι θῖνες· ἔχονται δὲ τούτων Δρέπανον, νῆσοι Ποντιαὶ τρεῖς, καὶ*[3]*) τούτων Λευκαὶ καλούμεναι*[4]*). Ἐν δὲ τῷ κοιλοτάτῳ τῆς Σύρτιδος, ἐν τῷ μυχῷ, Φιλαίνων βωμοί*[5]*), ἐπίνειον, Ἄμμωνος ἄλσος*[6]*). Ἀπὸ τούτου τὴν Σύρτιν παροικοῦντες οἱ Μάκαι χειμάζουσι ἐπὶ θαλάττῃ τὰ βοσκήματα κλείοντες, τοῦ δὲ θέρους ὑπεκλειπόντων τῶν ὑδάτων ἀπελαύνουσι τὰ βοσκήματα εἰς μεσογείαν ἄνω μεθ' ἑαυτῶν. Μετὰ δὲ τὴν Σύρτιν*[7]*) ἐστι χωρίον καλὸν καὶ πόλις, ᾗ ὄνομα Κίνυψ· ἔστι δ' ἔρημος. Ἀπὸ δὲ Νέας πόλεως ἀπέχει εἰς τὴν Σύρτιν στάδια ὀγδοήκοντα*[8]*). Ὑπ' αὐτῶν δ' ἐστὶ ποταμὸς Κίνυψ, καὶ νῆσος ὕπεστι πρὸς τὸν ποταμόν. Τὸ δὲ βάθος τῆς Σύρτιδος ἔσω τῶν Ἑσπερίδων πρὸς τοὺς Φιλαίνων βωμοὺς εἰς τὸν μυχὸν τοῦ κόλπου πλοῦς ἡμερῶν τριῶν καὶ νυκτῶν, πλάτος δ' ἀπὸ Κίνυφος ποταμοῦ πρὸς τὰς Λευκὰς νήσους πλοῦς ἡμερῶν τεττάρων καὶ νυκτῶν τεττάρων.* 93. *Τὰ δ' ἔξω τῆς Σύρτιδος παροικοῦσι Λίβυες Λωτοφάγοι ἔθνος μέχρι τοῦ στόματος τῆς ἑτέρας Σύρτιδος. Οὗτοι λωτῷ χρῶνται σίτῳ καὶ ποτῷ. Ἀπὸ δὲ Νέας πόλεως τῆς Καρχηδονίων χώρας Γάφαρα*[9]*) πόλις· ταύτης*[10]*) παράπλους ἡμέρας μιᾶς ἀπὸ Νέας πόλεως. Ἀπὸ δὲ Γαφάρων Ἀβρότονον πόλις καὶ λιμήν· | ταύτης ὁ* 48 H.
*παράπλους ἡμέρας μιᾶς. Ἀπὸ δ' Ἀβροτόνου Ταριχεῖαι*[11]*) πόλις καὶ λιμήν· παράπλους ἀπ' Ἀβροτόνου ἡμέρας μιᾶς. Μετὰ*[12]*) δὲ ταῦτά ἐστι νῆσος, ᾗ ὄνομα Ταριχειῶν*[13]*)· ἔστι δὲ ἡ νῆσος αὕτη σταδίων τριακοσίων, πλάτος δὲ μικρῷ ἐλάττων· ἀπέχει δ' ἀπὸ τῆς ἠπείρου ὡσεὶ στάδια τρία. Ἐν δὲ τῇ*

---

1) *λιβύων ἔθνος νασαμῶνες.* — 2) Hanc vocem codex male post *Σύρτιδος* habet. — 3) *κατά.* — 4) *καλοῦνται.* — 5) *φιλαῖον βωμός.* — 6) *ἀλοῦς τῆς σύρτιδος*, em. C. Mueller. — 7) *σύρτιν ἔξω τῆς σύρτιδος*, Gailius glossema ejecit. — 8) Post. *ὀγδ.* addit *πάντῃ*, quod C. Muell. recte delevit. — 9) *γράφαρα* et deinde *γραφάρων*, em. C. Muell. — 10) *ταύτῃ*, em. Gail. — 11) *ταριλία*, sed postea *ταριχειῶν.* — 12) *κατά*, em. C. Mueller. — 13) *βραχείων* (quod C. Muell. retinuit) *μετὰ λωτοφάγους καταριχίας*, quae e dittographia et marginalibus orta sunt.

*νήσῳ γίγνεται λωτὸς, ὃν ἐσθίουσιν, καὶ ἕτερος, ἐξ οὗ οἶνον
ποιοῦσιν. Ὁ δὲ τοῦ λωτοῦ καρπός ἐστι τῷ μεγέθει ὅσον
μιμαίκυλον*[1]*). Ποιοῦσι δὲ καὶ ἔλαιον πολὺ ἐκ κοτίνων. Φέρει
δὲ καρπὸν ἡ νῆσος πολὺν, πυροὺς καὶ κριθάς· ἔστι δὲ ἡ
νῆσος εὔγειος. Πλοῦς ἀπὸ Ταριχειῶν εἰς τὴν νῆσον ἡμέρας
μιᾶς. Μετὰ δὲ τὴν νῆσόν ἐστι Γιχθὶς*[2]*) πόλις. Ἀπὸ δὲ τῆς
νήσου εἰς Γιχθὶν πλοῦς ἡμέρα ἡμίσεια. Ἀπὸ δὲ Γιχθέως
εἰς Μακομάδα*[3]*) πλοῦς ἡμέρας· καὶ νῆσος ἔπεστιν ἐπ' αὐτῇ
ἐρήμη. Μετὰ δὲ ταύτην Κερκινῖτις*[4]*) νῆσος καὶ πόλις καὶ
κατὰ ταύτην Θάψος. Παράπλους ἀπὸ ταύτης εἰς Θάψον ἡμέρας
καὶ ἡμίσεως. Ἀπὸ δὲ Θάψου εἰς Λέπτιν τὴν μικρὰν πλοῦς·
ἀπὸ Λέπτεως εἰς Ἀδρύμετον. Ἀπὸ δὲ Θάψου καὶ Λέπτεως
τῆς μικρᾶς καὶ Ἀδρύμετός*[5]*) ἐστι κόλπος μέγας εἴσω, ἐν ᾧ
ἡ Σύρτις ἐστὶ ἡ μικρὰ, Κερκινῖτις καλουμένη, πολὺ τῆς ἄλλης
49 H. Σύρτιδος χαλεπωτέρα καὶ δυσπλοωτέρα, ἧς τὸ | περίμετρον στά-
δια δισχίλια. Ἐν ταύτῃ τῇ Σύρτιδι ἐνέστηκεν ἡ νῆσος καὶ
λίμνη*[6]*) Τριτωνὶς καλουμένη καὶ ποταμὸς Τρίτων, καὶ αὐτόθεν
ἐστὶν Ἀθηνᾶς Τριτωνίδος ἱερόν. Στόμα δ' ἔχει*[7]*) ἡ λίμνη μικρὸν,
καὶ ἐν τῷ στόματι νῆσος ἔπεστιν· καὶ ὅταν ἀνάπωτις ᾖ, ἐνίοτε ἡ
λίμνη οὐκ ἔχειν εἴσπλουν ἐστὶ*[8]*) φαίνουσα. Ἡ δὲ λίμνη αὕτη
ἐστὶ μεγάλη, τὸ περίμετρον ἔχουσα ὡς σταδίων χιλίων. Περιοι-
κοῦσι δ' αὐτὴν*[9]*) Λίβυες Γύζαντες*[10]*) ἔθνος, καὶ πόλις τὸ
ἐπέκεινα*[11]*) πρὸς ἡλίου δυσμάς· οὗτοι γὰρ Γύζαντες*[12]*) Λίβυες
λέγονται ξανθοὶ ἅπαντες καὶ κάλλιστοι. Καὶ ἡ χώρα αὕτη
ἀρίστη καὶ παμφορωτάτη, καὶ βοσκήματα παρ' αὐτοῖς ἐστὶ
καὶ μέγιστα καὶ πλεῖστα, καὶ αὐτοὶ πλουσιώτατοι*[13]*). Μετὰ δὲ
τὴν Σύρτιν ταύτην Νεάπολίς ἐστι. Παράπλους δ' ἀπὸ Ἀδρύ-
μητος ἐπὶ Νέαν πόλιν ἡμέρας ἐστίν*[14]*). Μετὰ δὲ Νέαν πόλιν
Ἑρμαία ἄκρα καὶ πόλις. Παράπλους ἀπὸ Νέας πόλεως εἰς*

---

1) *μιμαίηνκλον.* — 2) *ἔπιχος* et mox *ἔπιχον* et *ἐπίχου*, em. C. Mueller. — 3) *εἰς Μακ.* aut *εἰς Μακ.* ἢ *Νεάπολιν* addidit C. Mueller. — 4) *αὐτὴν ἀκακινίτης*, em. Voss. — 5) *ἀπὸ δὲ θάψου τῆς μικρᾶς καὶ δρονίτις· ἔστι κόλπος.* — 6) *καὶ λίμνη* omittit. — 7) *ἐχ* (sic) *ἡ λ.* — 8) *συνυφαίνουσα*, em. C. Muell. — 9) *περιέπουσι δέ*, em. C. Mueller. — 10) *πάντες*, em. idem. — 11) *ὑπέκεινα*, em. idem. — 12) *ἅπαντες* pro *Γύζ.* et mox *ἄπαστοι* pro *ἅπαντες*, em. idem. — 13) Post *πλουσ.* addit *καὶ κάλλιστοι*, quae jam Vossius delevit. — 14) *ἡμερῶν οτ'*, em. C. Muell.

῾Ερμαίαν ἡμέρας καὶ ἡμίσεως. ᾿Απὸ δὲ Νέας πόλεώς ἐστιν
εἰς ἰσθμὸν στάδια ἑκατὸν ὀγδοήκοντα πεζῇ πρὸς τὴν ἑτέραν
θάλατταν τὴν πρὸς Καρχηδόνα. ῎Εστι δ' ἀκτή, δι' ἧς ἰσθμός
ἐστι. Παράπλους ἀπὸ τοῦ ποταμοῦ ἐντεῦθεν εἰς | Καρχη- 50 H.
δόνα ἥμισυ ἡμέρας. ῾Η δὲ Καρχηδονίων χώρα ἐστὶν ἐν
κόλπῳ. 94. Μετὰ δὲ τὸν ἰσθμὸν Καρχηδών ἐστι πόλις Φοι-
νίκων[1]) καὶ λιμήν. Παράπλους ἀπὸ ῾Ερμαίας ἥμισυ ἡμέρας
εἰς Καρχηδόνα. ῎Επεισι δὲ νησία ἐν τῇ ῾Ερμαίᾳ ἄκρᾳ, Ποντία
νῆσος καὶ Κόσυρος. Πλοῦς δ' ἀπὸ ῾Ερμαίας ἐπὶ Κόσυρον
ἡμέρας. ᾿Απὸ ῾Ερμαίας ἄκρας πρὸς ἥλιον ἀνίσχοντα[2]) εἰσὶ
νῆσοι τρεῖς μικραὶ ὑπὸ Καρχηδονίων οἰκούμεναι· Μελίτη
πόλις καὶ λιμήν, Γαῦλος πόλις, Λαμπάς· αὕτη πύργους ἔχει
δύο ἢ τρεῖς. ᾿Απὸ δὲ Κοσύρου ἐπὶ Λιλύβαιον ἀκρωτήριον
Σικελίας πλοῦς ἡμέρας μιᾶς. Μετὰ Καρχεδόνα ᾿Ιτύκη πόλις
καὶ λιμήν. Παράπλους δ' ἀπὸ Καρχηδόνος εἰς ᾿Ιτύκην μιᾶς
ἡμέρας. ᾿Απ' ᾿Ιτύκης ῞Ιππου ἄκρα καὶ ῾Ιππὼν πόλις[3]), καὶ
λίμνη ἐπ' αὐτῇ ἐστί, καὶ νῆσοι ἐν τῇ λίμνῃ, καὶ περὶ τὴν
λίμνην πόλεις[4]) αἵδε· Ψέγας πόλις, καὶ ἀπαντίον αὐτῆς νῆσοι
Ναξικαὶ πολλαί, Πιθηκοῦσαι καὶ λιμήν. Κατ' ἐναντίον αὐτῶν
καὶ νῆσος καὶ πόλις ἐν τῇ νήσῳ Εὔβοια· Θάψα καὶ πόλις
καὶ λιμήν, Καύκακις πόλις καὶ λιμήν, Σίδα πόλις, ᾿Ιὼλ
ἄκρα, | πόλις καὶ λιμήν, ῞Εβδομος πόλις καὶ λιμήν· ῎Ακιον 51 H.
νῆσος, πόλις καὶ λιμὴν ἔπεστι· Ψαμαθὸς νῆσος, πόλις καὶ
λιμὴν, καὶ κόλπος. ᾿Εν δὲ τῷ κόλπῳ Βαρτὰς νῆσος καὶ λι-
μήν, Χάλκα πόλις ἐν τῷ ποταμῷ, ᾿Αρύλων πόλις, Μὴς πόλις
καὶ λιμήν, Σίγη πόλις ἐν τῷ ποταμῷ καὶ πρὸ τοῦ ποταμοῦ
νῆσος ῎Ακρα, πόλις μεγάλη καὶ λιμήν — ῎Ακρος ἡ πόλις καὶ
ὁ κόλπος ἐν αὐτῇ —, ἔρημος νῆσος Δρίναυπα ὄνομα, ῾Ηρά-
κλειος[5]) στήλη ἡ ἐν Λιβύῃ, ἄκρα ᾿Αβιλύκη καὶ πόλις ἐν πο-
ταμῷ καὶ ἀντίον αὐτῆς τὰ Γάδειρα νῆσοι. ᾿Απὸ Καρχηδόνος

1) φοιάλων, em. Gail. — 2) Post ἀνίσχοντα in codice μικρὸν ἀπὸ ἑρμαίας εἰσὶ νῆσοι τρεὶς μικραὶ κατὰ τοῦτο, ὑπὸ κ., glossemata delevi. — 3) ἀπὸ ἰτύκης εἰς ἵππον ἄκραν ἵππου πόλις. — 4) πόλεις ἐν ταὶς νήσοις αἵδε, gloss. ejecit C. Muellerus. — 5) ἡρακλεία, mox ἡρακλείους et ἡράκλειαι. Recte autem C. Muell. ἡ et post ᾿Αβιλ. particulam καὶ addidit. Pro ᾿Αβ. in codice legitur ἄπινι λύη, Gronov. em.

*ταύτῃ ἐστὶν*[1]) *τοῦ καλλίστου πλοῦ παράπλους ἡμερῶν ἑπτὰ
καὶ νυκτῶν ἑπτά. Εἰσὶ νῆσοι*[2]) *αὗται πρὸς τῇ Εὐρώπῃ —
τούτων ἡ ἑτέρα πόλιν ἔχει —, καὶ Ἡράκλειοι στῆλαι κατὰ ταύ-
τας· ἡ μὲν ἐν τῇ Λιβύῃ ταπεινὴ ἡ δ' ἐν Εὐρώπῃ ὑψηλή.
Αὗται δ' εἰσὶν ἄκραι καταντικρὺ ἀλλήλων, διέχουσι δ' ἀπ'
ἀλλήλων*[3]) *πλοῦν ἡμέρας. Παράπλους Λιβύης ἀπ' Αἰγύπτου
τοῦ Κανωπικοῦ στόματος μέχρι Ἡρακλείων στηλῶν, τιθεμέ-
νου τοῦ λογισμοῦ κατὰ ταὐτὰ, ἅπερ ἐν Ἀσίᾳ καὶ Εὐρώπῃ
γέγραπται, κατὰ τοὺς κόλπους κύκλῳ περιπλέοντι ἡμερῶν*
52 H. *ἑβδομήκοντα τεττάρων.* | *Ὅσα γέγραπται πολίσματα ἢ ἐμπόρια
ἐν τῇ Λιβύῃ, ἀπὸ τῆς Σύρτιδος τῆς παρ' Ἑσπερίδας μέχρι
Ἡρακλείων στηλῶν ἐν Λιβύῃ, πάντα ἐστὶ Καρχηδονίων.*
95. *Μετὰ δὲ Ἡρακλείους στήλας εἰς τὸ ἔξω πλέοντι, ἔχοντι
τὴν Λιβύην ἐν ἀριστερᾷ, κόλπος ἐστὶ μέγας μέχρι Ἑρμαίας
ἄκρας. Ἔστι γὰρ καὶ ἐνταῦθα Ἑρμαία ἄκρα. Κατὰ δὲ μέσον
τόν κόλπον κεῖται Ποντιὼν τόπος καὶ πόλις. Περὶ δὲ τὴν
πόλιν λίμνη κεῖται μεγάλη, ἐν δὲ τῇ λίμνῃ ταύτῃ κεῖνται
νῆσοι πολλαί. Περὶ δὲ τὴν λίμνην πέφυκε κάλαμος καὶ
κύπειρος καὶ φλέως καὶ θρυόν. Αἵ δ' ὄρνιθες αἵ Μελεαγρί-
δες*[4]) *ἐνταῦθά εἰσιν, ἄλλου δ' οὐδαμοῦ, ἂν μὴ ἐντεῦθεν
ἐξαχθῶσιν. Τῇ δὲ λίμνῃ ταύτῃ ὄνομα Κηφησιάς, τῷ δὲ
κόλπῳ Κώτης· ἔστι δὲ Ἡρακλείων στηλῶν καὶ Ἑρμαίας ἄκρας
ἐν τῷ μεταξύ. Ἀπὸ δὲ τῆς Ἑρμαίας ἄκρας ἕρματα τέταται
μεγάλα, ἀπὸ δὴ τῆς Λιβύης ἐπὶ τὴν Εὐρώπην, οὐχ ὑπερέχοντα
τῆς θαλάττης· ἐπικλύζει δ' ἐπ' αὐτὰ ἐνιαχῇ. Τέταται δὲ τὸ
ἕρμα ἐφ' ἑτέραν ἄκραν τῆς Εὐρώπης τὸ καταντικρύ· τῇ δ'
ἄκρᾳ ταύτῃ ὄνομα Ἱερὸν ἀκρωτήριον. Ἀπὸ δὲ τῆς Ἑρμαίας
ἄκρας ποταμός ἐστιν Ἀνίδης· ἐξίησι δὲ οὗτος εἰς λίμνην
μεγάλην. Μετὰ δ' Ἀνίδην*[5]) *ἐστὶν ἄλλος ποταμὸς μέγας* |
53 H. *Λίξος καὶ πόλις Φοινίκων Λίξος, καὶ ἑτέρα πόλις Λιβύων
ἐστὶ πέραν τοῦ ποταμοῦ καὶ λιμήν. Μετὰ δὲ Λίξον Κράθις*[6])

---

1) *ἐστὶν ἐφ' ἡρακλείους στήλας τοῦ κ.*, delevi glossema. — 2) *ἑπτα γάδειρα εἴσιν νῆσοι*, gloss. ejeci. — 3) *διέχ. δὲ αὗται ἀπ' ἀλλ.* — 4) *κύπρος καὶ φλοιόν· καὶ ὀρύον· αἵ δὲ ὄρνιθες λιμελελιφίδες ἐνταυθά εισιν, ἄλλον δὲ οὐδαμοῦ* et deinde *ἐξαχέωσιν*, em. Salmas. — 5) *ἀνιδίεντα.* -- 6) *κράβις*, e Mnasea Plinius Hist. Nat. lib. 38 §. 38 Crathin memorat.

ποταμὸς καὶ λιμὴν καὶ πόλις Φοινίκων Θυμιατηρία[1]) ὄνομα.
Ἀπὸ Θυμιατηρίας πλοῦς εἰς Σολόεντα[2]) ἄκραν, ἣ ἀνέχει
μάλιστα εἰς τὸν πόντον. Τῆς δὲ Λιβύης πάσης[3]) αὕτη ἡ
χώρα ὀνομαστοτάτη καὶ ἱερωτάτη. Ἐπὶ δὲ τῷ ἀκρωτηρίῳ
τῆς ἄκρας ἔπεστι βωμὸς μεγαλοπρεπὴς[4]) Ποσειδῶνος. Ἐν
δὲ τῷ βωμῷ εἰσὶ γεγλυμμένοι[5]) ἄνδρες, γυναῖκες[6]), λέοντες,
δελφῖνες· Δαίδαλον δέ φασι ποιῆσαι. Ἀπὸ δὲ Σολόεντος
ἄκρας ποταμός ἐστιν, ᾧ ὄνομα Λίξος[7]). Περὶ τοῦτον τὸν
ποταμὸν περιοικοῦσιν Αἰθίοπες ἑσπέριοι[8]). Κατὰ δὲ ταῦτα
νῆσός ἐστιν, ᾗ ὄνομα Κέρνη. Παράπλους δ' ἀπὸ Ἡρακλείων
στηλῶν ἐφ' Ἑρμαίαν ἄκραν ἡμερῶν δύο. Ἀπὸ δὲ Ἑρμαίας
ἄκρας εἰς Σολόεντα ἄκραν παράπλους ἡμερῶν τριῶν. Ἀπὸ
δὲ Σολόεντος εἰς Κέρνην παράπλους ἡμερῶν ἑπτά. Σύμπας
δὲ ὁ παράπλους οὗτός ἐστι ἀπὸ Ἡρακλείων στηλῶν εἰς Κέρ-
νην νῆσον ἡμερῶν δώδεκα[9]). Τῆς Κέρνης δὲ νήσου τὰ
ἐπέκεινα οὐκέτι ἐστὶ πλωτὰ διὰ βραχύτητα θαλάττης καὶ πηλὸν
καὶ φῦκος. | Ἔστι δὲ τὸ φῦκος τῆς δοχμῆς τὸ πλάτος καὶ 54 H.
ἄνωθεν ὀξύ, ὥστε κεντεῖν. Οἱ δ' ἔμποροί εἰσι μὲν Φοίνικες·
ἐπὰν δ'[10]) ἀφίκωνται εἰς τὴν νῆσον τὴν Κέρνην, τοὺς μὲν
γαύλους καθορμίζουσιν, ἐν τῇ Κέρνῃ σκηνὰς ποιησάμενοι
αὐτοῖς, τὸν δὲ φόρτον ἐξελόμενοι αὐτοὶ διακομίζουσι ἐν μι-
κροῖς πλοίοις εἰς τὴν ἤπειρον. Εἰσὶ δ' Αἰθίοπες[11]) πρὸς
τὴν ἤπειρον· εἰσὶ δὲ οὗτοι οἱ[12]) Αἰθίοπες, πρὸς οὓς διατί-
θενται. Πολοῦσι δὲ πρὸς δέρματα ἐλάφων καὶ λεόντων καὶ
παρδαλέων καὶ δέρματα ἐλεφάντων, καὶ ὀδόντας[13]) καὶ τῶν
ἡμέρων βοσκημάτων. Οἱ Αἰθίοπες χρῶνται κόσμῳ καταστίκτοις

---

1) θυμιατηριάς, em. Voss. — 2) πλοῦς recte adjecit C. Muell. — Deinde codex σολόεσαν habet sed mox bis σολόεντος. — 3) πᾶσα, em. Bursian. — 4) μεγ. ποινής· ποσιδῶνος, egregie emend. C. Mueller. — 5) γεγραμμένοι, em. Henr. Brunnius in libro: Geschichte der griechischen Künstler vol. I, p. 16, quocum consentit J. Overbeckius in libro: Die antiken Schriftquellen zur Geschichte der bildenden Künste bei den Griechen pag. 14. — 6) ἀνδριάντες pro ἄνδρες, γυναῖκες habet codex et Brunnius, ut C. Muellerus, retinet vertens: „menschliche Bilder". — 7) ξιῶν. — 8) ἱεροί, em. Slothouwerus. — 9) δέκα δύο. — 10) καὶ pro δέ. — 11) Quae sequuntur usque ad vocem πεπυρακτωμένοις ex alio fonte hausta sunt. — 12) δὲ pro οἱ. — 13) ὀδόντων, em. Reines. — Ad βοσκημ. supple δέρματα.

*δέρμασι*[1]) *καὶ ἐκπώμασι τοῦ ἐλέφαντος φιάλαις· καὶ αἱ γυναῖκες αὐτῶν χρῶνται κοσμῷ ψελίοις τοῦ ἐλέφαντος· χρῶνται δὲ καὶ πρὸς τοὺς ἵππους ἐλεφαντίνῳ κόσμῳ. Εἰσὶ δὲ οὗτοι οἱ Αἰθίοπες μέγιστοι ἀνθρώπων πάντων, ὧν ἡμεῖς ἴσμεν, μείζους ἢ τετραπήχεις — εἰσὶ δέ τινες αὐτῶν καὶ πενταπήχεις· — καὶ πωγωνοφόροι εἰσὶ καὶ κομῆται, καὶ κάλλιστοι πάντων ἀνθρώπων οὗτοί εἰσι. Καὶ βασιλεύει αὐτῶν οὗτος, ὃς ἂν ᾖ μέγιστος. Εἰσὶ καὶ ἱππηλάται καὶ ἀκοντισταὶ καὶ τοξόται καὶ χρῶνται τοῖς βέλεσι πεπυρακτωμένοις. Οἱ δὲ Φοίνικες ἔμποροι εἰσάγουσι αὐτοῖς μύρον, λίθον Αἰγυπτίαν, ἄπρους*[2]) *ἐξαράκτους, κέραμον Ἀττικὸν καὶ χοῦς· τὰ γὰρ*
55 H. *πλάσματά ἐστιν | ὤνια ἐν τοῖς Χουσὶ τῇ ἑορτῇ. Εἰσὶ δὲ οἱ Αἰθίοπες οὗτοι κρεοφάγοι, γαλακτοπόται, οἶνον δὲ ποιοῦσι πολὺν ἀπ' ἀμπέλων· τὸν δὲ καὶ αὐτοὶ οἱ Φοίνικες ἄγουσιν. Ἔστι δ' αὐτοῖς καὶ πόλις μεγάλη, πρὸς ἣν οἱ Φοίνικες εἰσπλέουσιν οἱ ἔμποροι. Λέγουσι δέ τινες τούτους τοὺς Αἰθίοπας παρήκειν συνεχῶς οἰκοῦντας ἐντεῦθεν εἰς Αἴγυπτον καὶ εἶναι ταύτην τὴν*[3]) *θάλατταν συνεχῆ, ἀκτὴν δ' εἶναι τὴν Λιβύην.*

96. *ΔΙΑΦΡΑΓΜΑ διὰ τῆς θαλάττης ἀπὸ*[4]) *τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν ἐπιεικῶς εὐθὺ κατ' ὀρθόν.*

*Ἄρχεται δὲ τὸ διάφραγμα ἀπ' Εὐρίπου τοῦ κατὰ Χαλκίδα καὶ ἔστιν ἐπὶ Γεραιστὸν στάδια ἑπτακόσια πεντήκοντα*[5]), *ἀπὸ Γεραιστοῦ ἐπὶ Παιώνιον τῆς Ἄνδρου στάδια ὀγδοήκοντα, ἀπὸ Παιωνίου*[6]) *τῆς Ἄνδρου ἐπὶ τὸν Αὐλῶνα στάδια διακόσια ὀγδοήκοντα, τοῦ Αὐλῶνος διάπλους εἰς Τῆνον στάδια δώδεκα, αὐτῆς δὲ τῆς νήσου ἐπὶ τὸ ἀκρωτήριον τὸ κατὰ Ῥηναίαν στάδια ἑκατὸν πεντήκοντα, τοῦ δὲ διάπλου εἰς Ῥηναίαν στάδια ἑξήκοντα*[7]), *αὐτῆς δὲ Ῥηναίας καὶ τοῦ διάπλου εἰς Μύκονον στάδια ἑξήκοντα. Ἀπὸ δὲ Μυκόνου διάπλους ἐπὶ τοὺς Μελαντίους σκοπέλους προαριστιδίου μικρῷ*

---

1) *κοσμοστίκτοις καὶ ἐκπ.* — 2) Quid *ἄπρ. ἐξαρ.* significent, nemo adhuc recte intellexit; C. Muellerus conjicit varia, e quibus mihi *ἄλλους* (sc. *λίθους*) *ἐξορύκτους* optime placet. — 3) *τὴν* adjecit C. Muellerus. — 4) *ἀπὸ* addidit Gail. — 5) *ζ' κοινή*, em. C. Muell. — 6) *Παιω.* adjecit C. Muell. — 7) *μ'* pro *ξ'*, ut in proximis verbis iterum.

ἐλάττων, στάδια τετταράκοντα, αὐτῆς δὲ Μυκόνου στάδια[1])
ἑκατόν, ἀπὸ δὲ Μελαντίων σκοπέλων πλοῦς εἰς Ἴκαρον προ-
αριστίδιος. Αὐτῆς δὲ τῆς Ἰκάρου στάδια τριακόσιά ἐστι μῆκος.
Ἀπὸ δ' Ἰκάρου πλοῦς εἰς Σάμον | προαριστίδιος. Αὐτῆς δὲ 56 H.
Σάμου στάδια διακόσια πεντήκοντά[2]) ἐστι τὸ μῆκος. Ἐκ
Σάμου εἰς Μυκάλην τοῦ διάπλου στάδια ἑπτακαίδεκα[3]). Τὸ
πᾶν, ἐὰν ἐκ Σάμου πλέωσι πρὸ ἀρίστου, στάδια δισχίλια
καὶ τριακόσια ἑβδομήκοντα, μὴ προσλογιζομένου[4]) τοῦ πλοῦ
τοῦ ἐκ Μυκάλης εἰς Σάμον. 97. Ἕτερον διάφραγμα εὐθὺ
κατ' ὀρθόν[5]). Ἀπὸ Μαλέας ἕως Κυθήρων[6]) στάδια ἑκατὸν
τριάκοντα[7])· αὐτῶν δὲ Κυθήρων μῆκος στάδια διακόσια[8])·
εἰς Αἴγιλαν πλοῦς προαριστίδιος[9]). Αὐτῆς Αἰγίλας μῆκος
στάδια πεντήκοντα. Ἀπ' Αἰγίλας εἰς Κρήτην πλοῦς προ-
αριστίδιος. Κρήτης αὐτῆς μῆκος στάδια χίλια καὶ ἑξακόσια[10])·
ἀπὸ Κρήτης εἰς Κάρπαθον στάδια πεντακόσια[11])· αὐτῆς Καρ-
πάθου μῆκος στάδια τριακόσια[12])· εἰς Ῥόδον ἀπὸ Καρπάθου
πλοῦς στάδια τριακόσια[13])· αὐτῆς Ῥόδου μῆκος στάδια πεν-
τακόσια[14])· ἀπὸ Ῥόδου εἰς τὴν Ἀσίαν στάδια ἑκατόν. Ἔστι
τοῦ διάπλου τὸ διάφραγμα στάδια τετρακισχίλια καὶ ἑκατόν.

ΜΕΓΕΘΗ ΝΗΣΩΝ. Μεγίστη Σαρδώ, δευτέρα Σικελία, τρίτη Κρήτη, τετάρτη Κύπρος, πέμπτη Εὔβοια, ἕκτη Κύρνος, ἑβδόμη Λέσβος, ὀγδόη Ῥόδος, ἐννάτη Χίος, δεκάτη Σάμος, ἑνδεκάτη Κέρκυρα, δωδεκάτη Κάσος, τρισκαιδεκάτη Κεφαλη-νία, τετταρεσκαιδεκάτη Νάξος, πεντεκαιδεκάτη Κῶς, ἑξκαιδε-κάτη Ζάκυνθος, ἑπτακαιδεκάτη Λῆμνος, ὀκτωκαιδεκάτη Αἴγινα, ἐννεακαιδεκάτη Ἴμβρος, εἰκοστὴ Θάσος.

---

1) Verba *αὐτῆς δ. Μυ. στ. ἑκ.* adjecit recte C. Muell. — 2) σʹ pro σνʹ, et *ἐστι τὸ μῆκος* male omittit. — 3) ζʹ pro ιζʹ. — 4) *προσλογιζομένῳ τοῦ πλοῦς· ἕτερον διαφ.* — 5) *ὀρθὸν κατ' εὐθύ.* — 6) In codice *Ἀπὸ Μαλ.* excidit, C. Muell. addidit. — 7) λʹ pro ρλʹ. — 8) ρʹ pro σʹ. — 9) *αἴγιναν*, em. Meineke. — Post *προαρ.* rectissime C. Muell. verba: *Αὐτῆς* etc. usque ad *προαριστ.* adjecit. — 10) ͵βφʹ pro ͵αχʹ, cfr. §. 48. — 11) ρʹ pro φʹ. — 12) ρʹ pro τʹ. — 13) ρʹ pro τʹ. — 14) χʹ pro φʹ. — Denique scribas quaeso pag. 7, vers. 4 ab imo marg.; pag. 9, vers. 7; pag. 13, vers. 7 et 9 ab initio et p. 15, vers. 7 *μέχρις*, et pag. 11, vers. 13 *ὀλίγῳ*.